Τοῦ σοφωτάτου ἀχμὲτ υἱοῦ τοῦ ἀβρα-
μίου τοῦ βιχάλετ υἱοῦ:-

προοίμιον:-

Ἐπειδὴ μὲν ἔδει μηδένα τὸν τὴν ἰατρικὴν
μετερχόμενον, τῆς δε τῆς βίβλου ἀμοι-
ρεῖν, καὶ ταύτης εἰς ἄκρον ἀφικέσθαι, ὁ-
πόση δύναμις. πᾶσαι μὲν οὖν αἱ προ-
γενέστεραι ἰατρικαὶ βίβλοι ἐναρμονίως
συντεθειμέναι, τὰ πλεῖστα συντετμημένως
καὶ ἀσαφῶς παρέδωκαν, ἐξ ὧν καὶ ἔνια
τῶν ἀναγκαίων παραλελοίπασιν. αὕτη δὲ
ὅσῳ μεταγενεστέρα τῶν ἄλλων, τοσοῦτῳ ὠφε-
λιμωτέρα καὶ ἀναγκαιοτέρα. συγγρα-
φέως δὲ μοιρήσασα, λίαν δοκίμου καὶ
πεπειραμένου, καὶ κατὰ πάντα ἀρίστου.
ἀκριβῶς ἐκδότος τὰ ἱπποκράτους ἅπαν-

τα, καὶ γαληνοῦ, καὶ τῶν μετ' ἐκείνους, συλ-
λεξάμενος ὅσα χρήσιμα καὶ ἀναγκαῖα,
καὶ μετὰ πείρας δεδοκιμασμένα καὶ συν-
τάξας ἐν ταὐτῷ ἑνὸς ἑκάστου νοσήματος
πόθεν γίνεται, καὶ τίνα τὰ σημεῖα, καὶ πῶς
θεραπεύεται· πύλας καὶ στήλας ὀνομάσας
τὰς σκευασίας, καὶ συνθέσεις, μιᾶς ἑκάστης
ὑποθέσεως, ἐκ διαφόρων συνηγμένας ἑρ-
μηνειῶν καὶ ἐξηγήσεων· ὡς ἐν τάξει τίτλων
καὶ κανόνων τοῦ πράγματος ποιησάμενος·
ἐν ὅλοις ἑπτὰ βιβλίοις ἀπήρτισας αὐτήν.
ὥσπερ δὴ καὶ τῷ σοφωτάτῳ καὶ ἀρίστῳ ἐν ἰα-
τροῖς ἔδοξε, παύλῳ τῷ αἰγινήτῃ· ὀνομάζε-
ται τοίνυν, ἐφόδια τῶν ἀποδημούντων· οὗ-
τος οὖν ὁ ποιητὴς ἀχμὲθ ὀνόματι υἱὸς τοῦ
ἀβραμιαίου τοῦ βιχάλετ τοῦ ἰηζοῦ τάξεως
ὑπάρχων ὡς ἔοικεν· ἵνα μὴ χρείαν ἔχῃ πολ-

λῶν βιβλίων. ἐρανισάμενος τὰ χρησιμώτερα
καὶ ἀναγκαιότερα τῶν παλαιοτέρων, συνεστή-
σατο ταύτην τὴν βίβλον. ἵν' ἐπὶ χεῖρας ἔχων
ἅπας, μὴ διαμάρτῃ τοῦ βουλομένου, ἀλλ' εὐκό-
λως ἐπιτυγχάνῃ τοῦ ζητουμένου. καὶ ὥσπερ
οἱ μεταβαίνοντες ἐκ τόπου εἰς τόπον, τροφὰς
καὶ σκεπάσματα προσπορίζονται εἰς δια-
τροφήν, οὕτω καὶ πᾶς ὁ βουλόμενος περι-
πατεῖν ἰατρός, προσπορίζεται ταύτην εἰς παν-
τοίαν χρείαν τοῦ ζητουμένου :-
Εἰσὶν οὖν πολλὰ τοῦ ἐκ δαμασκοῦ φωστῆρος ἰω-
άννου. Ἰωάννης γὰρ οὗτος, ὁ τὴν γῆν ἅπασαν
πληρώσας μελουργιῶν καὶ δογμάτων, καὶ
τὴν ἐκκλησίαν στολίσας, καὶ φαιδρύνας,
ἔν τε λόγοις καὶ κανόσιν ἐγκωμιαστικοῖς καὶ
πανηγυρικοῖς· οὕτω κἀν τούτοις εὐδοκιμή-
σας, ἄριστα συντεθεικώς, καὶ λίαν ἁρμοδίως.

εὑρήσεις οὖν ὁ φιλομαθὴς, ἅπαν θ' ἅπερ ζητήσαις ἐν τῇδε τῇ βίβλῳ· ἐμμελῶς καὶ ἐπιστημόνως ἀναγινώσκων αὐτήν: —

Τέλος.

βιβλίον β'ον

λόγος πρῶτος: α'ος

περὶ γενέσεως τριχῶν καὶ ἀλωπεκίας:

Ἰστέον ὅτι ἡ γένεσις τῶν τριχῶν, γίνεται ἀπὸ τῶν
χορδῶν παχέων ἀναθυμιάσεων. ἐμβαίνει
δὲ ἀπὸ τῆς πυρώδους θερμασίας τῆς ἐν τῷ
σώματι. καὶ ἐκ τοῦ αἵματος τούτου, αὐξά-
νονται αἱ τρίχες καὶ τρέφονται. διὰ τοῦτο
οὖν ἡνίκα ἐλαττοῦται τὸ τοιοῦτον περίττωμα
τοῦ παχέος αἵματος. καὶ οὐ καταλιμπάνεται
τὸ ἐξ αὐτοῦ ἢ κατέφθαρται γινομένου ἀχρή-
στου, διαφθείρονται αἱ τρίχες, ὅτι καὶ τὰ φυ-
τά, φθείρονται καὶ ἀπόλλυνται διὰ τριῶν ὑπο-
θέσεων. ἢ ὅτι ὑστεροῦνται ὁλοτελῶς τῆς ὑγρᾶς
ἰκμάδος, ἢ ὅτι οὐχ εὑρίσκουσι τὴν ὑγρότητα,
ἢ ὅτι πλημμυρεῖ τὸ ὕδωρ, καὶ οὐ καταλιμ-

πάνεται ἐξ αὐτοῦ τὸ ζωόλογον ὥσπερ τὰ βολ-
τα. Καθὼς ἐν ἐλύχνῳ τὸ πω λείπῃ. ὅτι τὸ πολὺ
ἔλαιον, σβέννυσι τὸ φῶς. ὅταν δὲ παντελῶς
ξηρανθῶσιν αἱ τρίχες ἀπὸ τῆς ἐλαττώσεως τοῦ
ἀπὸ τοῦ χυμοῦ, τροφῆς, τότε πίπτουσι καὶ
φθείρονται. Καὶ καλεῖται ἀλωπεκία. τοῖς
πλείσταις γὰρ τῶν ἀλωπέκων τοῦτο συμβαί-
νει. σημεῖον δὲ τοῦ, γνῶναι ἐκ ποίου περιτ-
τώματος ἐφθάρησαν αἱ τρίχες. βλέπω τὸ δέρ-
μα ἐν ᾧ αἱ τρίχες ἀπεξεώθησαν. εἰ γὰρ ὑπάρ-
χει ἡ χροιὰ τοῦ τόπου κιρρά, γινώσκομεν ὅ-
τι ἀπὸ ξανθῆς χολῆς ἐστὶν ἡ πτῶσις τῶν τριχῶν.
θεραπεύεται δὲ αὐτὴ ἀναγκαίως. ξηρότης τε καὶ
θερμότης. καὶ δεῖ κενοῦν τὴν ξανθὴν χολὴν
μετὰ ἐπιθήματος τοῦ χρυσοβαλάνου. καὶ
ἀψινθίου, καὶ καλάμου μέλανος. καὶ ὀξυφοι-
νίκων καὶ δαμασκηνῶν. καὶ τῶν ἀνθέων

τῶν ἰώνων· καὶ σκαμμωνίας καὶ τῶν λοιπῶν
ἐκδιωκόντων τὴν ξανθὴν χολήν. εἰ δ'
ὑπάρχει ἡ χροιὰ τοῦ τόπου ἐρυθρά, γινώ-
σκομεν ὅτι ἀπὸ πλεονασμοῦ αἵματος ἀλγεῖ-
σου. εἰ δὲ συμφωνεῖ ὁ καιρὸς ἤγουν ἔπηρ-
εας, καὶ ἡ ἡλικία, καὶ ἡ ζωὴ καὶ ἡ δύνα-
μις, ἀπολύσομεν τὸ αἷμα, καθὼς ἡ χρεία καὶ
ἡ δύναμις ἀπαιτεῖ. καὶ μετὰ ταῦτα, ποιοῦσο-
μεν αὐτὸν τὰ εἴδη τὰ καταπραΰνοντα τὸ αἷ-
μα καὶ τὴν ποιότητα αὐτοῦ. ὡς τὸ ἔψημα
τὸ συντεθειμένον ἀπὸ τῶν ὀξυφοινίκων· καὶ δα-
μασκηνῶν καὶ ζιζιῶν καὶ μυξαρίων καὶ ἴων.
πινέτω δὲ εἰς αὐτὸ τὸ ἀπόζεμα, κάλαμον μέ-
λανα κεκαθαρισμένον καὶ μάννα τῆς περσίδος
καὶ τὰ ὅμοια. εἰ δ' ὑπάρχει ἡ χροιὰ τοῦ τόπου
μελανωμένου καὶ λεπίδες ἐκπίπτουσιν ἀπὸ
τοῦ δέρματος μελανοβαφεῖς, τεκμήριόν ἐστι

μιγείσης χολῆς· ἁρμόζει γοῦν κλυσθῆναι διὰ εἰ-
δῶν, κλυζόντων τὴν μέλαιναν χολήν· ὡς τὸ
ἕψημα τοῦ ἐπιθύμου· ἢ κόκκοι στομαχικοί·
ἢ ἡ τοῦ γαληνοῦ ἱερά, ἢ τοῦ Ῥούφου· ἢ τοῦ
λογαδίου, μετὰ ἑψήματος τοῦ ἐπιθύμου· ἐ-
πιθέντος μετὰ σταφίδων καὶ τῶν τούτοις ὁμοίων.
εἰ δὲ ὑπάρχει ἡ χροιὰ τοῦ τόπου λευκή μετὰ
πιμελιώσεως καὶ γλισχρότητος, καὶ ἐλαιώ-
δους, ἔστι τὰ τοιαῦτα σημεῖα φλέγματος ἀχρή-
στου· καὶ δεῖ κλύζεσθαι μετὰ ἑψήματος τοῦ
ἀγαρικοῦ· καὶ μετὰ στομαχικοῦ κόκκων. ἢ
τῆς τοῦ γαληνοῦ ἱερᾶς· ἢ τῆς θεοδωρήτου τῆς
γινομένης μετὰ νάρδου ἰνδικοῦ καὶ τῶν ὁμοίων.
προσέτι δὲ ἀναγαργαρίζεσθαι μετὰ ὀξυ-
μέλιτος· σὺν ὀλίγῃ πικρᾷ ἱερᾷ καὶ θερ-
μῷ ὕδατι. ἀναγαργαριζέσθω δὲ μετὰ τι-
νων εἰδῶν τῶν λεχθησομένων ἔμπροσθεν.

κλυζόντων τὸ φλέγμα ἀπὸ τῆς κεφαλῆς. ἐ-
μέτω δὲ πάλιν δι' ὀξυμέλιτος καὶ ὕδατος,
ἑψημένου ἐν αὐτῷ ἀνήθου καὶ ἅλατος καὶ τῶν ὁ-
μοίων. ὁ δὲ γαληνὸς ἐχρῆτο τῇ κοινῇ ἱερᾷ
ἐναργῶς, εἰς τὴν θεραπείαν τῆς ἀλωπεκίας·
καὶ προσετίθει ἐν αὐτῇ τινα τῶν εἰδῶν. καὶ τὸ
πλεονάζον περίττωμα καὶ γεννῶν τὴν ἀλωπε-
κίαν. γνόντες δὲ ὅτι ἡ ὕλη τοῦ ἀλεπίστου χυμοῦ
ἐξέλιπε διὰ τῆς καθάρσεως τῆς καθαιρούσης
τὸ σῶμα· οἷον φλεβοτομίας ἢ κλυσώσεως, ἢ λε-
πτότητος τῶν περιττωμάτων, δέον ἡμᾶς σκορ-
πίζειν καὶ διαλύειν τὸ ὂν ἐν τῷ δέρματι ἀπὸ
τοῦ ἀλεπίστου χυμοῦ μετὰ πάσης ἀκριβείας.
καὶ ἀποφεύγειν τοῦ χρῆσθαι δριμυτάτοις,
καὶ θερμοτάτοις, ἅτινα ξαμαλίζουσι τὸ δέρ-
μα, ἀγαθὸν ποιήσομεν ξυρήσαντες ἐξ ἀρ-
χῆς τὴν κεφαλὴν τοῦ ἀρρωστοῦντος. ἢ καθα-

ρέσαντες τὰς τρίχας διαχρίσματος. καὶ τρί-
βοντες τὸν τόπον τῆς πλάσεως τῶν τριχῶν
διὰ πανίου λινοῦ, μὴ ὄντος μαλακοῦ
λίαν, μήτε τραχέος. εἴπερ δὲ ἴδομεν
διὰ τρίψεως ὀλίγης ἐρυθραινόμενον τὸν
τόπον πολλά, εὔκολός ἐστιν ἡ θεραπεία. τοῦ
δὲ τριβομένου πολλὰ καὶ οὕτως ἐρυθραι-
νομένου, δυνατόν ἐστι θεραπευθῆναι. βλέ-
πον δὲ μετὰ ταῦτα, ἐὰν ὑπάρχῃ ἡ γένεσις τῆς
τοιαύτης νόσου ἀπὸ θερμότητος. καὶ ξυ-
ρέσαντος τὴν κεφαλὴν ἢ καθαίροντος τὰς
τρίχας διαχρίσματος, χαράξομεν ὕστερον
τὸν τόπον πυκνῶς μετὰ κοπιδίου σπικα-
τοῦ καλῶς, μέχρι ὅτου ῥεύσῃ τὸ αἷμα.
καὶ πληρωθέντων τῶν χαραγμάτων, ἔθνον
ἐπὶ τούτοις καὶ πάσης τῆς κεφαλῆς, τὸν φλοιὸν
τῶν ποντικῶν καρύων κεκαυμένον. καὶ τετριμ-

μένον καλῶς εἰς ἄχρον. συναλείφων μετὰ
τοῦ αἵματος ἢ μετὰ τῶν ὀνύχων κεκαυμένων
μεμιγμένων μετὰ ὄξους ἢ μετὰ τῆς κόπρου
αὐτῶν. πλύνεις δὲ καὶ τὴν κεφαλὴν μετὰ
τῶν ἰδίων τῶν καθαιρόντων τὰ ἐπιπόρεια τὰ γινό-
μενα ἀπὸ τῆς θερμότητος. εἰ δ' ὑπάρχει τὸ νό-
σημα ἀπὸ ψύξεως, πρὸ δὲ ἐπομένου τοῦ ἀρρώστου
τα μετὰ τὸ ξυρῆσαι τὴν κεφαλὴν αὐτοῦ, ἵνα χα-
ράξῃ τοὺς τόπους καλῶς. εἶτα ἄλειφε πυκνῶς.
μετὰ σκορόδων, καλῶς κεκομμένων. ἔπειτα
ἐλαίῳ ἐπάλειφον, εὐφόρβιον τετριμμένον
μετὰ δαφνελαίου ἢ μετ' ἐλαίου, ἢ τῶν μετὰ ἐλ-
ξαν τῶν κεκαυμένων καλάμων. ἢ μετὰ τῶν
νοσεχίνων τῶν εὑρισκομένων ἐν τοῖς τοίχοις
τῶν ὀρυθρῶν. ἢ μετὰ καρδαμοσπόρου κεκαυ-
μένου. ἢ διὰ τῶν ἀλκυονίου θαλασσίου, ξιφθή-
του καλῶς. ὑγραίνων αὐτὸ δι' ἐλαίου. ἢ μετὰ

ἐλαιῶν ἐσδρῶν φύλλων θερμῶν, καὶ ἀλειφέ-
σθω ὁ τόπος. τινὲς δὲ τῶν ἰατρῶν, μίσγουσι
τῷ ἀλκυονίῳ βούτυρον. καὶ ἀναζυμοῦσι
μετ' ἐλαίου καὶ ἀλείφουσιν. ἢ λαβὼν τὰ
φύλλα τῶν σύκων. τρίψας καὶ ἀναμί-
ξας μετ' ὄξους καὶ ἐλαίου, ἄλειφον. ἢ μετὰ
κόπρου περιστερᾶς, ἢ μετὰ ἀμυγδάλων
πικρῶν κεκαυμένων μετὰ τοῦ φλοιοῦ. προσ-
τίθης μετ' αὐτοῦ μέλι ὀλίγον καὶ ἄλειφε, ἢ
ἀγριοπήγανον. ἢ τὸ σπέρμα αὐτοῦ μετ'
ὄξους. ἢ μετ' ἐλλεβόρου λευκοῦ ἢ μέλανος.
ἢ μετὰ βουτύρου μετ' ὄξους. καταλιμπάνων
τὴν ἀλοιφὴν ἐν τῇ κεφαλῇ, ὥραν ὀλίγην. καὶ
μετὰ ταῦτα ἐκμάσσων μετὰ πανίου, ἢ ἀ-
λείφων μετὰ κολοκυνθίδος ἐντεριώνης τετριμ-
μένης μετ' ὄξους καὶ ἐλαίου. ἀλειφέσθω δὲ
σταφίδα ἀγρίαν, τετριμμένην μετ' ὄξους καὶ

μέλιτος. ἢ κόπρον μυὸς καὶ λίβανον ἀνὰ
μέρος ἴσον κόψας σήθες, ζύμωσον μετ᾽ ὄξους δρι-
μέος καὶ ἄλειφον. ἔνιοι δὲ προστιθέασι μετὰ
τῆς κόπρου τοῦ μυὸς ἐλλέβορον λευκόν. κατὰ
μόνας δὲ ἄλλοι τρίβουσι. μετ᾽ ἐλαίου καὶ ὄξους.
καὶ ἀλείφουσιν. ἢ μετὰ νάπυος καὶ καρδά-
μου ἀνὰ ἴσου σταθμοῦ, κόψας σήθες, ἀνα-
δήσον μετ᾽ ὄξους καὶ ἐλαίου. καί τινες εἶπον,
ὅτι μεγάλως ὠφελεῖ ὁ ἀφρὸς τῶν χλωρῶν κα-
λαμίων. σὺν δαφνελαίῳ χριόμενος. φησὶ δὲ ὁ
διοσκουρίδης, καυθέντος τοῦ φλοιοῦ τῶν καρύων,
καὶ τριβομένου καὶ τυμωθέντος μετὰ ἑψή-
ματος σταφίδων καὶ ἐπὶ τὴν κεφαλὴν τῶν παι-
δίων τιθεμένου, ἀναφύει τὰς τρίχας αὐτῶν
καὶ καλλωπίζει. ὠφελεῖ δὲ εἰς τὴν ἀλωπεκία-
σιν, καὶ τῶν ῥεουσῶν τριχῶν τῶν ὀφρύων. λα-
βὼν λάδανον, καὶ βρέξας αὐτὸ εἰς ἕψημα,

ἀνάμιξον καὶ ὀλίγον μυρσινελαίου· καὶ
ἀλειφέσθωσαν αἱ ὀφρύες. ἢ λαμβανέτω στρου-
θίον. Καὶ τρίψας αὐτὸ μετ᾽ ὄξους ἀναμιγνύ-
τω καὶ ἀλειφέτωσαν αἱ ὀφρύες. εἶπε δέ τις
ὅτι τὰ πικρὰ πάντα ὠφελοῦσιν εἰς τὴν τοι-
αύτην νόσον. ἐὰν λουθῇ μετὰ λουτρῶν. ἢ ἀλει-
φθῇ ἡ κεφαλή, ἢ αἱ ὀφρύες. δεῖ γὰρ ὅταν ποι-
ήσῃς ἰσχυρὰ φάρμακα, εἰς τὴν τοιαύτην ἀρ-
ρωστίαν, ἵνα μαλάξῃς αὐτὰ μετὰ λίπους ἢ
μετὰ κηροῦ, ἢ τῶν λοιπῶν ὑγρῶν καὶ λιπα-
ρῶν· οἷον στέατος· ἢ μετὰ θερμαντικῶν ἐλαιωδῶν·
ὡς τὸ ἔλαιον τοῦ πενταφύλλου, ἢ ὡς τῶν πεντα-
δακτύλου· ἢ τὸ ἔλαιον τοῦ λύχνου, ἢ δαφνε-
λαίου τοῦ, ἐλαττῶσαι μέρος τῆς δριμύ-
τητος αὐτῶν, διὰ τὸ μὴ ζημιωθῆναι τὸ
δέρμα. ταῦτα δὲ τὰ εἴδη τὰ θεραπεύοντα τὴν
ἀλωπεκίαν, συνεργοῦσιν εἰς τό, ἀναφυῆναι

τὰς θρίχας τοῦ πώγωνος. βραδυνόντων ἢ αὐτῶν φυῆναι, ἐκ τῶν προλεχθέντων ἔσθ᾽ ὅτε γίνεται σύνθεσις ἀλλήλων ἑνουμένων. καὶ μετ᾽ αὐτῶν θεραπεύονται. καὶ ἔστι ταχινὴ πρὸς ὠφέλειαν. ἐν τούτοις δὲ σύνθεσιν ἰατρικὴν πεποιηκὼς ἀπό τινὶ ἔχοντι ἀλωπεκίαν ὁλοτελῶς ἡ κεφαλὴ αὐτοῦ οὐδ᾽ ὅσον θρὶξ. οὐκ ἔλειψεν πολλάκις αὐτὴν καὶ ὑγιὴς καλέσει. ἐδοκίμασα δὲ αὐτὴν καὶ εἰς ἕτερον. καὶ ἐχαρίσατο ταύτην. λαβὼν σὺν θεῷ εὐφόρβιον καὶ ἀλκυόνιον. καὶ κόπρον περιστερῶν ἀνὰ γρ. α. ἐλεφοροῦν λευκόν. ἀγριοπηγάνου σπέρμα. φλοιὸν λεπτοκαρύων κεκαυμένων. σάλος. κάτινον. καρδαμόσπορον ἀνὰ 𐅵 γρ. τρίψας ὁμοῦ καλῶς καὶ ἀναμίξας μετὰ ἐπιθήματος ἢ δαφνελαίου ἢ ῥαφανελαίου. ἢ τοῦ

πενταφύλλου, χρίειν ἐξ αὐτοῦ καταλιμ-
πάνων μίαν νύκτα. καὶ τῇ ἑξῆς, πλύνειν
μετὰ χυλοῦ σεύτλου. ἢ μετὰ ἑψήματος
κυάμου. πράττε δὲ τοῦτο πολλάκις, ἔστι
ὠφέλιμον ἐστι. καὶ δεδοκιμασμένον:-

κζ. δευτέρα πύλη: περὶ ῥυήσεως τρι-
χῶν: βον:

Ἔστιν εἶδος ἕτερον ἀπὸ τῆς πτώσεως τῶν τρι- ϛ
χῶν. οὐ πολὺ δέ, συμβαίνει δὲ ἀπὸ πλείστων
ὑποθέσεων. τὸ μὲν ἀπὸ ἐλαττώσεως τῆς
τροφῆς, οὐκ ἀποδεχομένης ἐν ταῖς θριξίν.
ἐξ αὐτῆς δὲ ὑπάρχει ὁ ἀπαρτισμὸς τῆς
ἀναβλαστήσεως τῶν τριχῶν. τὸ δὲ ἀπὸ τῆς
μοχθηρίας τῶν τριχῶν, ὡς συμβαίνει ἐπὶ τῶν τῶν χυμῶν
ἐλεφαντιώντων. καὶ τῶν μακρονοσούντων.
γίνεται δὲ πάλιν ἀπὸ τῆς πυκνότητος τοῦ
δέρματος. καὶ τὸ ἀνάπαλιν χείρω ἀπὸ τῆς

ἀραιότητος. καὶ ἐὰν ὑπάρχῃ ἡ ῥεῦσις τῶν
τριχῶν ἀπὸ στερήσεως τῆς τροφῆς, ἀκόλουθον
χρῆσθαι συνεχέστερον λουτροῖς. καὶ τρέφεσθαι
ἀπὸ τῶν τροφῶν τῶν πληθυνόντων τὸ πάχος
τῶν χυμῶν. φεύγειν δὲ τὰ ἁλμυρὰ τῶν τροφῶν.
καὶ χρῆσθαι ἀλοιφαῖς, ἑλκούσαις αἷμα
χρηστὸν εἰς τὰς ῥίζας τῶν τριχῶν καὶ αἰτίοις
εἰς τό, ἀναβλαστῆσαι τρίχας. ὡς τό, λάδανον
καὶ τὸ κρινέλαιον. εἰ δ' ὑπάρχει ἀπὸ τῆς πυ-
κνώσεως τοῦ δέρματος, χρῆσθαι φαρμά-
κοις, ἀραιωτικοῖς τῶν πόρων. ὡς τὰ ἀμύ-
γδαλα τὰ πικρὰ τὰ κεκαυμένα. ἢ τὸ ἀ-
βρότονον τὸ ἀρμενιακόν. ἢ τὸ ῥαφανέλαιον
ἢ τῆς δάφνης. ἢ τὸ χαμαιμήλιον. καὶ τὰ ὅ-
μοια. εἰ δ' ὑπάρχει ἡ τῶν τριχῶν ῥεῦσις συ-
χνή, ἔστιν ἀπὸ ἀραιότητος τοῦ δέρματος καὶ
τῆς τῶν πόρων ἀδυναμίας. καὶ δεῖ, ἀλείφειν

στυπτικά. ὡς τὸ μυρσινέλαιον. τὸ ῥοδέλαιον·
τὸ ὀμφάκινον ἔλαιον. ἢ λαβὼν φύλλα ἐ-
λαιῶν κεκαυμένα καὶ κεκομμένα ζύμω-
σον μεθ' ὕδατος ἐλαιῶν· καὶ δεύσας μετὰ
ῥοδελαίου, χρῖσον τὴν κεφαλὴν πυκνῶς.
ἢ λαβὼν φύλλα μυρσίνης κεκαυμένα καὶ
ἀναμεμιγμένα μετὰ ῥοδελαίου, ἄλειφον
τὴν κεφαλήν. ἐν τάχει γὰρ ἀναφύει τὰς ῥίζας
τῶν τριχῶν. ὁ δὲ διοσκουρίδης φησίν· ὅτι ἐ-
ὰν πλυθῇ ἡ κεφαλὴ μετὰ μυρσίνων ἀπο-
ζέματος, μελαίνει τὰς τρίχας· καὶ δυναμοῖ
καὶ κωλύει αὐτὰς ἀπὸ τῆς ῥεύσεως. περι-
σφίγγει γὰρ αὐτάς, καὶ ὠφελεῖ, καὶ τὰ ἀπὸ
πιτυριάσεως ὑγρὰ ῥεύματα. ἃ δὲ ἀνα-
φύει τὰς τρίχας καὶ ἐπιμήκεις ποιεῖ, ἐστὶ ταῦ-
τα:·

περὶ αὐξήσεως τριχῶν·

λαβὼν τὰ φύλλα τῆς ἰτέας, ἢ τὰ φύλλα τῆς

καππάρεως καύσας καὶ δεύσας μετὰ μυρ-
σινελαίου, ἀλειφέτω τὴν κεφαλήν. ἢ λαμβα-
νέτω λινόσπερμα. ἢ τὰ στελέχη αὐτῶν καὶ
καύσας, δεῦσον μετὰ σησαμελαίου καὶ ἀλειφέ-
τω τὴν κεφαλήν. ἢ κύμινον αἰθιοπικὸν κε-
καυμένον καὶ τετριμμένον δεύσας σὺν ὕδατι
τὸν τόπον ἀλειφέτω. ἢ λαμβανέτω φύλλα
τῆς ἰτέας. ἢ τὰ φύλλα τῆς καππάρεως. καὶ
καύσας ῥίζας. καὶ ἀναμίξας μετὰ γάλα-
κτος γυναικείου, ἀλειφέσθω ὁ τόπος τῶν
ῥεουσῶν τριχῶν. ἢ λαβὼν τέφραν τῆς του
καλάμου ἐλίξης, ζύμωσον μετὰ μυρσινελαίου
καὶ ἄλειφον τὴν κεφαλὴν καὶ τὸν πώγωνα.
Ἰωάννης δὲ ὁ δαμασκηνός, σύνθεσιν ἐποίη-
σε τῆς ἀδυναμίας τῶν ἑλκῶν τῆς τῶν τριχῶν
ἀναφυῆς τῆς κεφαλῆς, τοιαύτην, λαβὼν
φλοιὸν κεκαυμένον λεπτοκαρύων ℥ β´. ἀδιαν-

θιὰν κηκίδ(ιον), ἀναγγά· στυπτηρίαν· φύλλα
καλάμου κεκαυμένα, ἀνὰ ∠ γ΄. κόκκους
μυρσίνων ∠ ς΄΄, ζήτας πάντα ὁμοῦ κα-
λῶς καὶ λαβὼν μυρσινέλαιον οὐγ(γίας) ϛ΄, ἕνω-
σον καὶ ἕψησον καλῶς καὶ βάλε ὁμοῦ πάν-
τα, εἰς ἀγγεῖον ὑέλινον· καὶ ἄλειφε ἐξ αὐτοῦ
τὸν γυμνωθέντα τόπον τῶν τριχῶν. πάνυ δὲ
θεραπεύεται ὁ πάσχων θεοῦ διδόντος.
Διότι πεπείραμαι αὐτὸ καὶ οὐ χαρίζομαι.
καὶ ἵνα ἔστιν ἕτερα τὴν αὐτὴν ὠφέλειαν ἔ-
χοντα. λαβὼν λάδανον· ἀψίνθιον· ὀστᾶ φοι-
νίκων κεκαυμένα ἐξ ἴσου, θὲς εἰς ῥάκος
λινόν. καὶ βάλε εἰς βυκίον, μετ' ἐλαίου
καὶ καταλιπὼν αὐτὸ ἡμέρ(ας), ἄλειφέ τω τὴν
κεφαλὴν καὶ τὸν πώγωνα. ἐνδυναμοῦσι γὰρ
τὰς ῥίζας τῶν τριχῶν, καὶ στερεοῖ. ἢ λαβὼν
τὸν φλοιὸν τῆς συκαμινέας, καὶ τὰ ὀστᾶ τῶν

φοινίκων κεκαυμένα ἀνὰ μέρος ἀναδεῖ-
ξας ζωμῷ δαλι, χρῖε τὸν τόπον :

ἡ τρίτη πύλη, περὶ διξιχίας καὶ κολο-
βώσεως : κεφά(λαιον) γον :

γ' Συμβαίνει ταῖς θριξί, τοῦ διασχίζεσθαι, καὶ
κολοβοῦσθαι. Καὶ τὸ πλέον συμβαίνει τοῖς
ἔχουσι θερμὴν κρᾶσιν καὶ νεωτέροις· καὶ γί-
νεται ἀπὸ τῶν ἀνερχομένων ἀτμῶν θερμῶν
καὶ ξηρῶν ἐπὶ τῆς κεφαλῆς· συμβαίνει δὲ πά-
λιν ἐξ ἀμελείας, διὰ τό, μὴ λούεσθαι, ἢ
κτενίζεσθαι, ἢ ἀλείφεσθαι καὶ θεραπεύσεως,
τῆς ἐπιμελείας τῶν τριχῶν. θεραπεύοντες δὲ
ποιοῦμεν φάρμακα τὰ ἐλαττοῦντα τὴν
θερμὴν καὶ κωλύοντα τοὺς θερμοὺς ἀτμοὺς
καὶ ξηρούς, τοῦ, ἀνέρχεσθαι ἐν τῇ κεφαλῇ.
ὡς τὸ ἀφέψημα τὸ ζωμὲ τε θαμβίον. καὶ ἐκ τῶν
ὀξυφοινίκων. τῶν ἴων τῶν χρυσοβαλάνων

τῶν δαμασκηνῶν τῶν ζιζίφων καὶ τῶν ὁμοίων.
πινέτω δὲ καὶ τὸ ἀπόζεμα τοῦ μέλανος κα-
λάμου· καὶ φλεβοτομείσθω κρανιακήν. εἰ
συναδεῖ ὁ καιρὸς καὶ ἡ ἡλικία, τὸ ἔθος τε
καὶ ἡ δύναμις, ἵνα μετὰ τοῦ αἵματος ἐ-
ξέλθῃ καὶ τὸ ὑπάρχον ἐν αὐτῷ περίττω-
μα ὀξύ. πινέτω δὲ καὶ ἀπὸ τῶν καλα-
ποίων τῶν τυχόντων τὴν κρᾶσιν. τρεφέσθω
λαχάν
δὲ μετὰ κολοκύνθης καὶ ἀνδράχνης. χυ-
σοβλήτων. ὀρνιθοπούλων. περδίκων. καὶ
τῶν ὁμοίων τροφῶν τῶν τυχόντων καὶ ὑγραι-
νόντων. ὁπηνίκα δὲ φανῇ ἡμῖν, ὅτι ἡ ὕλη
τῆς θέρμης, καὶ ἡ ὀξύτης ἠλαττώθη, τότε
χρώμεθα ἀλοιφαῖς καὶ ἐμπλάστροις ψυ-
χούσαις τὴν θερμασίαν. καὶ ὑγρασινούσαις τὰς
τρίχας, ὡς τὸ γλίσχρον τοῦ ψυλλίου. μετὰ
ἐλαίου χρίε μετ' αὐτοῦ τὰς τρίχας, καὶ μετ'

ἐπιτεταγμένην ὥραν. πλῦνον μετὰ ὕδα-
τος χλιαροῦ, καὶ ἄλειφε μετὰ ἐλαίου. ἢ
ἀπὸ τῆς νυμφαίας. ἢ τοῦ ἀπὸ τοῦ σπέρμα-
τος τῆς κολοκύνθης. ἢ λαβὼν σπέρμα κυ-
δωνίων, ποίησον καθὼς προείπομεν ἐπὶ τοῦ
ψυλλίου. ὠφελεῖ γὰρ εἰς τὰ τοιαῦτα. εἰ δὲ ἐμ-
βαλεῖν τὸ ὕδωρ τοῦ αἰθιοπικοῦ ἀγγουρείου
μετὰ τοῦ ὕδατος τοῦ ψυλλίου ἢ εἰς τὸ ὕδωρ
τῆς κολοκύνθης, καὶ ἀναμίξεις μετά τινος
τῶν λεχθέντων ἀλειμμάτων, γίνεται ὠφελιμώ-
τερον. ἢ λαβὼν κριθὴν κεκαθαρισμένην,
βρέξον εἰς ὕδωρ γλυκὺ χλιαρὸν μέχρι ὅ-
του ἐξέλθῃ ἡ τούτου δύναμις εἰς τὸ ὕδωρ.
καὶ πλῦνον μετ' αὐτοῦ τὰς τρίχας. εἶτα
ἄλειφε μετ' ἐλαίου. ἢ λαβὼν τὰ φύλλα τοῦ
σησάμου τὰ ἁπαλά, σύνθλασον. ἀποπιέζων
τὸ ἀπόζεμα αὐτῶν. καὶ πλύνας τὰς τρίχας,

ἄλειψον

κτένισον· καθὼς ἐὰν ἐπιμηχούμενος καὶ

ἀλείφων μετὰ ὑγρῶν ἀλοιφῶν:—

πύλη δ´: περὶ πολιώσεως. καὶ

τί ἀλοιοικωλήν:—

Τῶν τριχῶν λεύκανσις πρὶν τῆς δεούσης ὥ-
ρας αὐτῆς. γίνεται ἀπὸ πλήθους φλέγ-
ματος ὄντος ἐν τῷ στομάχῳ καὶ ἐν τῇ κε-
φαλῇ. Καὶ διὰ τοῦτο προσέταξαν οἱ πρό-
χειροι τῶν ἰατρῶν τοῖς θέλουσιν ἐπὶ πολὺ
μένειν τὰς τρίχας καθὼς ἡ φύσις ταύτας
ἐποίησεν καὶ μὴ ταχέως πολιοῦσθαι, πί-
νειν τὰ καθαίροντα φάρμακα τὴν κεφα-
λὴν καὶ τὸν στόμαχον ἀπὸ τοῦ φλέγματος.
ὡς τὴν πικρὰν ἱερὰν τοῦ γαληνοῦ. τὴν θεο-
δώρητον. τὴν διὰ μαστίχης, τῆς ἀλόης. ἢ
τὴν τοῦ κάτε. καὶ τὰ ὅμοια, καὶ συχνά-
κις ἐμεῖν. εἰσερχομένοις ἐν βαλανείῳ, καὶ

ἀναγαργαριζομένοις μετ' ὀξυμέλιτος· καὶ
τῶν ὁμοίων. εἰ δὲ γελοῖ κανθῶσιν αἱ τρίχες
καὶ σπάλινα ἐμποδισμὸν οὐκ ἐχρήσω
τῇ λεχθείσῃ ἰατρείᾳ, θέλεις καὶ δὲ ἀμαυρῶσαι
αὐτάς. ποίησον ταύτας τὰς ἀλοιφάς. εἰ
τοίνυν βούλει ταύτας βάψαι μέλαινας, λα-
βὼν κυπαρισσόμηλα, ἢ τὸν φλοιὸν αὐτῶν,
ἕψησον μετὰ ἑψήματος οἴνου μαγερσι τοῦ
σὺν κόσμου· ἢ μετ' ὄξους, καὶ ἄλειφε τὴν κε-
φαλὴν ἡμέρας πλείστας συχνῶς. ἢ λαβὼν
τὸ κύπερον καὶ κέλεμ σαρακηνιστί· γραι-
κιστὶ δὲ χαλιρνῷ, δένδρον δέ ἐστιν ἔχον
φύλλα πράσινα ὅμοια μυρσίνης ἀνάμε-
ρος α´, ἀνάμιξον μετὰ τοῦ ὕδατος τοῦ
φλοιοῦ τοῦ κυάμου καὶ τοῦ κηκιδίου καὶ
ἄλειφε μετ' αὐτοῦ. μελαίνει γὰρ τοῦτο τὰς τρί-
χας· καὶ αὔξουσι τὴν πολλάν. ἑψηθέντων δὲ

τῶν φύλλων τῆς συκαμίνου καὶ τῶν φύλλων τῆς ἀμπέλου, καὶ τῶν φύλλων τῆς συκῆς ξηρῶν μετὰ ὀμβρείου ὕδατος καὶ ἀλειφομένων· μελαίνει τὰς θρίχας:

ἀλοιφὴ μελαίνουσα τὰς θρίχας:

λαβὼν κηκίδια < ε´· κύπρον < β´· χαλκὸν κεκαυμένον < α´· ἅλας χαρούβας β´· ἑνώσας τὰ πάντα καὶ θρίψας καλῶς, χύσον ἐπ᾽ αὐτῶν ὕδωρ θερμόν, καὶ ἄλειψον τὰς θρίχας καὶ θὲς ἐπάνω τῶν θριχῶν μετὰ τὴν ἀλοιφήν, φύλλα σεύτλου· καὶ δῆσον καλὰ λιμπάνων αὐτὰ ἡμερονύκτιον:

ἕτερον:

λαβὼν κύπρον τάραξον μετὰ τοῦ ὕδατος μέχρι ἂν γλύνηται λεπτὸ τάλη. εἶτα λαβὼν ὄξος καλὸν ἀπὸ σταφυλῆς μελαίνης ἢ σάρης. χεῖσον τὴν κύπρον ὀλίγον τί. καὶ θὲς τὴν κύπρον μετὰ ὕδατος εἰς τὰ ἀγγαλουρο-

ὀδοστάγματος, καὶ σκεύαζε ὡς τό, ἐρδόσταγ-
μα. Καὶ τὸ σταλακτιζόμενον ὕδωρ λαβών, ἀ-
λειφε τὰς τρίχας ἡμέρας γ΄. μελαίνον-
ται. εἰ δὲ βούλει ποιῆσαι ξανθάς, λαβὼν
θέρμια, βρέξον αὐτὰ εἰς ὕδωρ νύκτας, ἡμέρας
ε΄. εἶτα ἄλειφε τὰς τρίχας. ποιεῖ γὰρ αὐτὰς
ξανθάς, ὥσπερ χρυσίον. εἰ δὲ βούλει ποιῆσαι
ἐρυθράς. λαβὼν τὴν τρύγανον τοῦ μαυρο-
τοῦ οἴνου, καῦσον αὐτήν, καὶ ἀνάμιξον μετὰ
ὀλίγης ῥητίνης καὶ τοῦ ἐλαίου τῆς κασσίας, καὶ
ἐξ αὐτοῦ ἀλειφέσθωσαν αἱ τρίχες. τὰ δὲ λεπ-
τύνοντα τὰς τρίχας τὰς ἰσχυρὰς καὶ σκληράς,
ἐστὶ τὸ βεῦραχ. καὶ τὸ ἀλκυόνιον τὸ κεκαυ-
μένον ἢ τὸ ἄκαυστον. ἢ καρσίνη, πλυνόμεναι
συνεχῶς μετ' αὐτῶν, ὅπερ δὴ ὠφέλιμα ἐστὶ καὶ
πεπειραμένα: —   πύλη ε΄:

περὶ πιτύρων τῶν ἐν τῇ κεφαλῇ: —

ιζ΄ πιτυρίασις, ὅτι βλαβερωτέρα ἐστὶ τῶν ἑτέρων ε΄

παθῶν τῶν ἐν ταῖς θριξί. πολλάκις γὰρ ἀλ-

λότριοι αὐταῖς· καὶ ἐξανασπᾷ. ἔτι δὲ ὡς

λεπίδια λευκά, παρόμοια πιτύροις. ἡ οὖν

γένεσις αὐτῶν διχῶς γίνεται. ἀπὸ μὲν ἀπο-

κράσεως ἐγκεφάλου θερμῆς. γινωσκούσης ἐν

τῇ κεφαλῇ θερμὴν ἔχει δὲ τὸ στόμα τοὺς οἰ-

κείους χυμοὺς ὑγρούς, ἀπὸ δὲ ἁλμυρῶν περιτ-

τωμάτων, ἀνερχομένων ἐν τῇ κεφαλῇ. θερα-

πεύοντες οὖν εἴπερ εἴδομεν ὅτι ἐστὶν ἰδιοτρόπως

ἐν τῇ κεφαλῇ δυσκρασία θερμή, προτρέπο-

μεν πίνειν τὰ μυροβάλανα τὰ καθαίροντα τὸ

σῶμα, καὶ ἐκκόπτοντα τὴν θερμὴν ὕλην

ἀπὸ τῶν ἄνω ἴσως ἀπὸ τῆς κεφαλῆς. εἶτα

λαβὼν ἄλευρον ἐρεβίνθης καὶ δεύσας με-

τὰ χυλοῦ τῶν σεύτλων, καὶ τοῦ χυλοῦ τῶν

φύλλων τῶν σηκαμίνων, πλῦνον μετὰ τούτων

τὴν κεφαλήν· ἢ λαβὼν ὄξος ἀπὸ οἴνου, ἀνά-
μιξον μετὰ ὕδατος σησάμου· ἢ μετὰ τῶν
φύλλων τῶν σησάμων ἀναμίξας μετὰ ὕδα-
τος σεύτλου καὶ ἀλθαίας συντετριμμένης
τὰ φύλλα, πλῦνον τὴν κεφαλήν· ἢ πάλιν
πλῦνον· μετὰ ὕδατος τῆς ἐρεβίνθου καὶ
ὄξους μετὰ ἀλθαίας· ἢ μετὰ φύλλων σησά-
μου, ἢ μετὰ χυλοῦ κριθῆς· ἔστι δὲ ὠφέλι-
μον πρὸς πιτυρίασιν συμβαίνουσαν ἀπὸ θερ-
μότητος· ὁ δὲ Διοσκουρίδης φησίν· ὅτι τὰ φύλ-
λα τοῦ σησάμου συνθλάσας πλῦνον τὴν κε-
φαλήν· καὶ μὴ καυθήσονται αἱ τρίχες· καθαρ-
θήσεται δὲ ἡ γιγνομένη πιτυρίασις ἐν τῇ κε-
φαλῇ καὶ ἐν τῷ πώγωνι· ἑψήματος δὲ τοῦ
καρποῦ τῆς μυρσίνης, εἰς ὕδωρ σεύτλου, κα-
θαίρει τὴν πιτυρίασιν ἀπὸ τῆς κεφαλῆς· ἡ
δὲ τῆλις ἑψηθεῖσα μετὰ ὕδατος, τὸ, λουτων

ἀπόζεμα καθαίρει τὰς τρίχας καὶ τὴν κεφα-
λὴν ἀπὸ πιτυριάσεως καὶ τῶν ὑγρῶν ῥευμάτων. ὠ-
φελεῖ δὲ καὶ τοῦτο εἰς πιτυριάσιν. λαβὼν πι-
τυρασίτου λί(τρας) β΄. βάλε αὐτὰ εἰς ὕδωρ θερ-
μὸν ἡμερονύκτιον. εἶτα σύντριψον καλῶς.
καὶ διήθησον τὸ ὕδωρ αὐτῶν. ἐπιχέων τῷ
ὕδατι, ὄξος ὀλίγον. καὶ βρέξας καλῶς,
πλυνέσθω ἡ κεφαλή. καὶ τριβέσθω ἰσχυ-
ρῶς. πλεῖον δὲ καὶ μετὰ ψυχροῦ ὕδατος.
ἢ λαβὼν τὸ ὕδωρ τῶν ἁπαλῶν στρύχνων τρι-
βλία β΄. καὶ χρυσοβάλανα συντετριμμέ-
να ∠ ι΄, δεύσας μετὰ ὕδατος τοῦ στρύχνου,
πλῦνον τὴν κεφαλήν. δυναμοῖ γὰρ τὰς τρί-
χας καὶ φθείρει τὴν πιτυριάσιν. εἰ δὲ ὑπάρ-
χει ἡ πιτυριάσις ἀπὸ ψυχρᾶς κράσεως
ἐν τῇ κεφαλῇ, λαβὼν θέρμια κόψον αὐτὰ
καλῶς ἐπίθες μετ᾽ αὐτῶν, ἀβρότονον, κο πανὶς-

μήκων· ἢ θρύμβον, ἢ ὀρίγανον. Καὶ δεύσας μετὰ ὄξους, πλύνον τὴν κεφαλήν, ἢ μετὰ ὕδατος σεύτλου, σὺν αὐτῷ θερμία, ἑψημένα. ἢ μετὰ χυλοῦ ἰτέας ἑψημένης. ὅταν δὲ γεννῶσι, ἄλειφε κεινέλαιον. ἢ πλύνον μεθ' ὕδατος τῆς κολοκύνθιδος τῆς ἐντεριώνης, ἢ λαβὼν οὐγγία α΄ ἐκ τοῦ ἀποζέματος τῆς ἰτέας· βούρακα στα΄· χυλὸν σεύτλου, ζιβλιόνα΄· χολῆς αἰγὸς ὀλίγον, ὄξος ὀλίγον· ἑνώσας τὰ πάντα καὶ ποιήσας ὡς τὴν διαλθαίας, πλύνον τὴν κεφαλήν, ἢ πλύνον μετὰ χολῆς προβάτου καὶ νίτρου. ἢ μετὰ χολῆς βοός, καὶ νίτρου· καθαίρει γὰρ τὴν πιτυρίασιν τὴν ἐμβαίνουσαν ἐν ταῖς θριξί, καὶ παύει τὴν [illegible]: —

πύλη ϛ΄:

Περὶ τῶν ξαμάτων τῶν γινομένων ἐν τῷ δέρματι τῆς κεφαλῆς: —

Συμβαίνει συνέλευσις κνισμοῦ μετὰ ἐξανθημά- ϛ
των ἐν τῷ δέρματι τῆς κεφαλῆς. καὶ γίνεται
ἀπὸ περιττώματος ξανθῆς χολῆς καὶ δρι-
μυτάτης κατὰ μόνας. ἢ μετὰ φλέγμα-
τος διεφθαρμένου. βουλόμενοι δὲ τοῦτο
θεραπεῦσαι, ἀρχόμεθα καθαίρειν τὸ σῶμα,
ἐκ τῆς γινομένου κακοχυμίας τὰ ἐξανθήματα
καὶ ἀνισόσπηλος. μετὰ δὲ ταῦτα, προσφέ-
ρομεν τοπικὰ φάρμακα, καὶ προτρέπο-
μεν ξυρᾶσθαι τὴν κεφαλήν. εἶτα λαβόν-
τες τὰ φύλλα τῆς κυπαρίσσου καὶ τὸν καρ-
πὸν αὐτῆς, ἢ τὰ φύλλα τῆς μυρσίνης, ἢ
τὸν καρπόν, ἢ τὸ δαμασώνιον, ἢ τὸ βελί-
λιτζ ἢ τὸ ἔμελξ. ἢ ὁποῖον τούτοις ἐπι-
τύχης συνθεὶς ἕνωσον μετ' ὄξους καὶ ἐ-
λαίου. καὶ ἄλειφε τὸ δέρμα τῆς κεφαλῆς.
χρῶ δὲ πάλιν ταύταις ταῖς ἀλοιφαῖς:

λαβὼν λιθάργυρον ψιμμύθιον σουκ. αἷ-
μα δρακόντιον ἀνὰ οὐγγίας ε̄. σέπιας.
κηκίδ(ια) συγ(κεκομμένα) τρίψας σῆθε. εἶτα λα-
βὼν ὀλίγου κόμμιδ(ος) καὶ ζαγανάνθη, θὲς εἰς
ὄξος δριμύτατον ἢ μεθ' ἑνὸς νύχθιον. καὶ ἀνα-
μιξον μετὰ τῶν λοιπῶν εἰδῶν. εἶτα λαβὼν
κηρὸν λευκὸν. λῦσον μετὰ ἐλαίου. καὶ
ἑνώσας πάντα. ἄλειφε τὴν κεφαλήν. ὅτι δὴ
θαυμαστόν ἐστι καὶ ταχινὸν εἰς τὴν θεραπείαν:-

λαβὼν ψιμμύθ(ιον) ℥ ϛ. λιθάργυρον κηρὸν
ἀνὰ ℥ δ. θείου ἀπύρου ℥ ζ. ἔλαιον τὸ ἀρ-
κοῦν εἰς τὴν λύσιν αὐτῶν. λύων πάντα ὁμ(οῦ).
ἄλειφε. ὠφελεῖ πάνυ:-

ἀλοιφὴ ὠφελοῦσα σὺν θεῷ εἰς τὴν ὑγρασίαν
τῆς κεφαλῆς. καὶ οὔσης ἀτρίχου. μάλιστα
δὲ τῶν ἀκμαζόντων καὶ νεωτέρων. ἔστι δὲ
πεπειραμένη:-

Λαβὼν λιθάργυρον μέρος α΄· φύλλα πη-
γάνου χλωρά, ἥμισυ μέρος· κοπανίσας τὰ
πάντα καὶ ζυμώσας μετὰ ῥοδελαίου καὶ
ὄξους ὀλίγου, ἄλειφε διὰ πτεροῦ:-

Ἀλοιφὴ ἑτέρα ὡς φησὶν ὁ Γαληνός, ὅτι
ὠφελεῖ εἰς τὰ ὅμοια·

Λαβὼν φλοιὸν τῶν ῥοῶν καὶ ἀκακίαν ἐρυθράν·
κηκίδων ἐξ ἴσου· τὸ μὲν κηκίδιον καὶ τὸν φλοιὸν
τῶν ῥοῶν, βρέξον εἰς ὄξος καὶ ἕψησον· τὴν
δὲ ἀκακίαν, λύσον εἰς οἶνον· καὶ μίξον τοῖς
λοιποῖς· καὶ τρῖψον καλῶς καὶ χρῶ. ἢ λα-
βὼν κλάδους συκῆς ἢ τὰ φύλλα αὐτῆς
χλωρά, καὶ κοπανίσας μετὰ ὕδατος, πάσ-
σον τὴν κεφαλήν. ἐὰν δὲ οὐ παρευρίσκονται χλω-
ρά, ἀντὶ ὕδατος, βρέξον μετ' ὄξους καὶ
ἄλειφε. ἢ λαβὼν ἀμύγδαλα πικρὰ κεκα-
θαρισμένα τοῖς δυσὶ λεπτοῖς σὺν ὕδατι.

θερμῷ, καὶ πανίζεις μετὰ ὕδατος καλῶς ἕως
οὗ οὐ παχυνθῇ ὡς λελυμένῳ κηρῷ· βυζή-
σεις τὲ τὴν κεφαλήν· ἄλειπτον. εἰ δὲ χρόνια
ὑπάρχει, χρῶ μετὰ ὄξους. εἰ δὲ ἔτι μετὰ τῶν
ζουμάτων οἴδημα, λῦσον κηρὸν καὶ ῥοδέ-
λαιον ἕνωσον καὶ λευκὸν ὠοῦ καὶ χρῶ:-

πύλη ζ'. περὶ τῆς ἀρρωστίας τῆς μελιτώ-
δους οὕτω καλουμένης. τῆς ἐν τῇ κεφαλῇ, ὃ
παρὰ τοῖς κοινοῖς καλεῖται γλυκύ:

ζ' Συμβαίνει ἐν τῷ τῆς κεφαλῆς δέρματι ζου-
ματα, ἔχοντα, ὀπὰς μικράς. καὶ ἐξέρχε-
ται ἐξ αὐτῶν, ὑγρότης παχεῖα, γλίσχρος.
ὁμοία τῷ μέλιτι καὶ διὰ τοῦτο ἐκλήθη αὕ-
τη ἡ νόσος μελιτώδης. γίνεται δὲ ἀπὸ φλέγ-
ματος ἁλμυροῦ. διὸ ἁρμόζει οὖν ἔτι καθα-
ρίσαι τὸ σῶμα ἀπὸ τῆς ὑγρότητος, τοῦ ἀλμυ-
ροῦ φλέγματος διὰ τῆς τοῦ γαληνοῦ ἱερᾶς

ἢ τῆς θεοδωρήτου. ἢ μετὰ τῶν στομαχικῶν
βοηθημάτων καὶ ἀνακαθαρισμάτων τῶν κενού-
των τὸ φλέγμα ἀπὸ τῆς κεφαλῆς. εἶτα
καὶ τὸ ποτὰ περιφέρη φάρμακα. οἷον ἀρα-
φαιδιαλύοντας τοὺς παχεῖς χυμοὺς καὶ
λεπτύνοντας τοὺς γλίσχρους. διέσκο-
μεν δὲ τοῦτο ἐν μόνῳ τῷ δριμυτάτῳ ὄξει. καὶ
λαβὼν τὴν βοτάνην τῶν ὑελιῶν τὴν λεγομένην
περδίκια ζούζιτον μετ' ὄξους καὶ ἄλειφε. ἢ
λιθάργε μετ' ὄξους, ἢ τέφραν φούρνου μετ' ὄξους.
ἢ λαβὼν σκωρίαν ἀργύρου ἢ ψιμμυθίου,
τρίψας ὁμοῦ μετ' ὄξους ἄλειφε καὶ μετὰ ῥο-
δελαίου. ἢ χάρτην κεκαυμένον τρίψας μετ'
ὄξους, ἄλειφε τὰ τραύματα. ἐπεὶ ξηραίνει
δὲ αὐτὰ καὶ δαπανᾷ τὴν ὑγρότητα τὴν
παχυτάτην καὶ γλίσχρον. καὶ ποίει ταῦτα
μετὰ τὸ ξυρῆσαι τὴν κεφαλήν. ἢ τὸν τόπον,

καὶ σπογγίζει δι᾽ ἀποζέματος μυρσίνης. ἢ

κεφαλῆς τῶν ῥόδων. εἰ δ᾽ οὖν παρῇ τὸ ἕλκος

πολύ, λαβὼν λίβανον καὶ ζίγας μετ᾽ ὄξους

ἄλειφε. ἢ τὴν τρύγα τοῦ οἴνου κεκαυμένην

καὶ τετριμμένην. μετ᾽ ὀλίγου χρίσματος. καὶ

ἀναμίξας μετ᾽ ὄξους, ἄλειφε τὴν κεφα-

λήν· φυλαγέτω δὲ ἀπὸ τῶν τροφῶν, τῶν γεννών-

των παχεῖς χυμούς:-

η΄ κεφ. περὶ:

Ἕτερα ἔστι κακὰ ὅσα γίνονται ἐν τῷ δέρματι

τῆς κεφαλῆς, πολλάκις καὶ εἰς τὴν ὄψιν

τοῦ προσώπου. καὶ τὸ μὲν καλεῖται σα-

ρακηνιστί, σάχφη. τὸ δὲ ἕτερον ἔλβεε:-

η΄ Ἡ μὲν γένεσις, ἀπὸ τῆς ὀξύτητος τῆς ξανθῆς

χολῆς. τῆς ἀναμεμιγμένης μετὰ πλείστου

αἵματος ἀλμυροῦ. καὶ ἡ μὲν σάχφε. ὑπάρ-

χει ὡς ζεύματα μικρὰ καὶ συμβαίνει ταῦ-

τα κνησμὸς ἰσχυρός. καὶ συνεχῶς ἐξαπλοῦ-

ται. ἡ δὲ ἔλβει, συμβαίνει ἐξ αὐτῆς πά-
λιν κνησμὸς ἰσχυρός. καὶ ἐξέρχονται λε-
πίδες καὶ ἐκδαίρονται. τὸ δὲ πλεῖστον γίνε-
ται ἐπὶ τῶν παίδων διὰ τὸ πλεῖστον τοῦ αἵ-
ματος αὐτῶν. καὶ τὴν ὑγρότητα τοῦ δέρμα-
τος. βουλόμενοι δὲ θεραπεῦσαι ταῦτα, προστέ-
πομεν ἐγκρατεύεσθαι ἀπὸ τῶν θερμῶν βρω-
μάτων, ποτίζοντες τὸν ἄρρωστον, τὰ ψύχοντα
τὴν θέρμην. καὶ καταπραΰνοντα τὴν ποιό-
τητα τοῦ σώματος. μετέπειτα δὲ χρώμεθα
τοῖς ἀλείμμασιν. εἰ δὲ εἰσὶν αὗται αἱ ἀρρω-
σται εἰς παιδίον μικρόν, προστάττομεν τέμ-
νειν τοῦ παιδὸς τὰς ὄπισθεν τῶν ὠτίων φλέ-
βας. καὶ τὸ αἷμα τοῦτο ζεόν, ἀλείφομεν
τὴν κεφαλήν. ἡ δὲ θηλάζουσα τὸ παιδίον,
βεφεέσθω δι᾽ ὧν τὸ γάλα εὔχρηστον γίνεται.
πινέτω δὲ καὶ τὸ ἀπόζεμα τῶν ἰντύβων

καὶ τοῦ μαράθρου μετὰ σάκχαρος. ξυρά-
σθω δὲ ἡ κεφαλὴ τοῦ παιδός. καὶ ἀλειφέσθω
ταύτην τὴν ἀλειφήν:-

λαβὼν λιθάργυρον τιμημένον ἀνὰ ∠ ϛ΄. κεφαλὴν
τῶν ἀμπελίνων ξύλων. γλαύκιον. κομίδιον. κι-
κίδιον, ἀνὰ ∠ α΄. κοπανίσας τὰ πάντα καλῶς,
ζύμωσον μετὰ ῥοδελαίου καὶ ὀλίγον ὄξους. εἶ-
τα ἄλειφον καὶ θαυμάσεις:-

ἀλοιφὴ ὠφελοῦσα εἰς τὴν σάλφες φημίτων
τραυμάτων τῆς κεφαλῆς:-

λαβὼν κηκίδιον ἄβυπτον, ∠ ε΄. οὖρον βοός, κότυλην
μίαν. ὄξος ἐξ οἴνου κότυλην α΄. ἕνωσας ὁμοῦ,
βράσον εἰς χύτραν, μέχρις ὅτου ἀπαλύνωσι τὰ κηκίδια
καὶ ἔπειτα μετὰ ταῦτα τρίψας τὰ κηκίδια. ἄλειφε
ξηραίνει γὰρ τὸ πάθος. ἢ λαβὼν κηκίδιον ἄβυπτον
∠ ι΄. ἀμύγδαλα πικρὰ ∠ ε΄. τρίβε ὁμοῦ
μετ᾽ ὄξους ἀπ᾽ οἴνου. καὶ θὲς εἰς ὕελινον

μέχρι ὅλου πληρώσιν, ἄλειφε ἐξ αὐτοῦ. ἢ

λαβὼν ἀπὸ ἐρ(ίο)υ βαμβακος ἀφελὼν τὰ ἐντός,

ζύμωσον κοπανισμένα μετὰ ἐρυθρὰ ἄσπρα-

τος καὶ ἄλευρον, ὠφελεῖ:-

ἐλοξα ὠφε(λεῖ) εὐδοκιάθ(η) εἰς τὴν ελεβεν.

ἔστι δὲ θαυμαστή, καὶ (πολλάκις) δεδοκίμασται:

λαβὼν λιθαρ(γύρου) ψιμμυ(θίου). βωλον ἀρμένιον.

ἀνὰ ∠ β΄. ἀκακιάν. θεῖον ἄπυρον ἀνὰ ∠ α΄.

ὑδραργύρ(ου). συντρίψας τὰ εἴδη καὶ λύσας

τὸν ὑδράργυρον καὶ ἀναμίξας τὰ πάντ(α)

μετὰ ἐρυθρελαί(ου) καὶ ὄξους. ἕως οὗ γένηται

ὡς χρίσμα λεῖον, ἄλειφε ἐξ αὐτοῦ μετὰ

τὸ πλῦναι μετὰ θερμοῦ ὕδατος. πλα-

ρέτω δὲ τὸ παιδίον γ΄ ἢ μετὰ δίαμυγδα-

λελαίου ἐμβαλὼν ἀνὰ β΄ σταλαγμὸν ἐν

τοῖς δυσὶ μυκτῆρσιν. ἄλειφε αὐτῷ δὲ ἢ κε-

φαλὴ λιθαργύρου συειακόν. ἢ σκωρίαν ἀργύρου

μετὰ ἐθδελαθί· πινέτω δὲ τὸ παιδίον,
ἐκ τοῦ τοιούτου ξηρίου· ὠφελεῖ γὰρ εἰς τὴν
δίψαν, ὅτε μεταβάλλεται ἡ κρᾶσις αὐτοῦ εἰς
θερμότητα. ἔστι δὲ ἡ σύνθεσις αὕτη· λα-
βὼν σπόδου. ζάχαρ. φύλλων ῥόδων ἐρυθρῶν
ἀνὰ ἐξάγ. α΄. καρυόφαλον. κάγχρυον. κε-
βέβας, ἀνὰ ἐξ. ς΄΄. σουὴ κρεπόν· σπωειὰν ἀρ.
ἀνὰ ἐξ. τέταρτον κοπανίσας τὰ εἴδη καὶ σή-
σας πότιζε τὸ παιδίον, ἀνὰ ∠ β΄ μετὰ ὕδα-
τος ψυχροῦ· ἢ μετὰ γάλακτος τῆς μητρὸς τοῦ
παιδὸς. ὠφελεῖ γὰρ γάρ· δεδοκίμασται καὶ πε-
πείραται θεοῦ θέλοντος:-

ἡ θ΄ πύλη: περὶ φθειρῶν τῶν ἐν τῇ κε-
φαλῇ γινομένων, καὶ ἐν παντὶ τῷ σώ-
ματι:-

α΄ Πληθύνουσιν αἱ φθεῖρες τῆς κεφαλῆς, καὶ αἱ
κόνιδες ἐν τῇ κεφαλῇ. καὶ ἐν παντὶ τῷ σώματι.

Καὶ γίνεται ἀπὸ κακοχυμίας σεσημμένης·
καὶ ἀποστέλλει αὐτὴν ἡ φύσις ἡ περνοῦσα
ἀνὰ μεταξὺ τοῦ αἵματος, καὶ τῆς σαρκός·
καὶ ἐὰν γεννῶνται αἱ φθεῖρες ἀπὸ κεφαλῆς
ἀπὸ δυσκρασίας θερμῆς, ἄλειφε αὐτὸ ἡ κε-
φαλὴ ὕδατος λελυμένον εἰς τὸ τέφραν ἀπὸ
κλωσσούκλου κεκαυμένης, μετ' ὄξους καὶ ἐ-
λαίου· ἢ μίσγει τὸν ὕδατος· καὶ τὴν λιθάργυρον
μετ' ὄξους καὶ ἐλαίου· καὶ ἄλειφε τὴν κεφα-
λὴν καὶ πᾶν τὸ σῶμα ὅταν πληρωθῇ φθει-
ρῶν· εἰ δὲ γεννῶνται ἐν τῇ κεφαλῇ ἔχουσαι
δυσκρασίαν ψυχρὰν φημι ὡς τὴν γεννη-
κήν, ἁρμόζει τοῦ λαβεῖν ἀγρίαν σταφίδα καὶ
βέβερι· καὶ ἀρσενικὸν ἀνὰ μέρος α΄· εἶτα
τὰ πάντα καὶ ἀναμίξας μετ' ἐλαίου καὶ ὀ-
ξους, ἄλειφε τὴν κεφαλήν· ἢ λαβὼν ἐλέβο-
ρον λευκὸν· ἀγρίαν σταφίδα· νίτρον ἀνὰ μέρος α΄

ῥητίνας καλῶς μεμιγμένης, ἀλειφέτω εἰς τὸ βα-
λανεῖον. πλυνάτω δὲ συνεχῶς τὴν κεφαλὴν
μετὰ ἁλμυροῦ ὕδατος, ἢ θαλάσσης καὶ ὄ-
ξους. ταῦτα γὰρ ἀπολύουσι καὶ θανατοῦσι τὰς
φθεῖρας. εἰ δὲ πολλάκις οὐχ εὑρίσκεται θα-
λάσσιον ὕδωρ λαβὼν ἅλας μίξον μεθ' ὕδα-
τος, καὶ ὀλίγον ὄξους· καὶ ἄλειφε τὸ σῶμα.
εἰ δὲ ἐγεννήθησαν αἱ φθεῖρες ἐξ ἀρρωστίας
ἀπὸ τοῦ ῥύπου, ἄλειφε τὸ δέρμα ἔλαιον τοῦ
κνίκου· καὶ πλύνον μετὰ ἀποζέματος, ἔ-
χοντος μυρσίνας καὶ ῥόδα. ἢ ἀλειφέσθω τὸ
δέρμα ἐκ τοῦ χυλοῦ τῶν φύλλων τοῦ δέν-
δρου τοῦ συκοβόρου· ἢ ῥητίνας ἀρσενικὴν ἐρύ-
σιμον μετ' ἐλαίου, ἄλειφε τὸ σῶμα· ἐπεὶ γὰρ πε-
πειρασμένον :·

Κς τ´ πύλη: περὶ κεφαλαλγίας:

τ´ Ἡ κεφαλαλγία ἡ συμβαίνουσα ἐν τῷ κρανίῳ γί-

νεται δηχθεὶς ἢ ἀπὸ κοινωνίας ἑτέρου μορίου
μετέχοντος αὐτοῦ ὥσπερ ὁ στόμαχος, ἢ ἐκ πρω-
τοπαθείας τῆς κεφαλῆς. ὁπότε δὲ ἡ κεφα-
λαλγία ἅπαξ γίνεται καὶ παύεται, ἐστὶν
ἐκ συμπαθείας μορίων. καὶ φησὶν ὁ γαληνός.
ὅτι κεφαλαλγία γινομένη τὸ πλεῖστον ἄνευ
φανερᾶς αἰτίας ἀπὸ περιττωμάτων ὀξυλά-
των ἐνουμένων τῷ στομάχῳ καὶ ἡ αἰτία ἐ-
στιν· ἀπὸ καύσονος ἡλίου καὶ κρούσματος.
εἰ δὲ ὑπάρχει ἀπὸ περιττωμάτων ὀξυτάτων
ἐνουμένων ἐν τῷ στομάχῳ, αἰσθάνεται ὁ πε-
πονθὼς τοῦ πόνου, μετὰ ἐν τῆς κεφαλῆς αὐ-
τικρὺς τοῦ στομάχου. εἴπερ οὖν ἐστιν ἡ κε-
φαλαλγία ἄπαυστος στερεά, γίνεται ἐν
τῇ κεφαλῇ ἰδίως ἐκ τῶν τεσσάρων φύσεων.
εἰ δὲ ἐστιν ἀπὸ αἵματος αἰσθάνεται, θέρμης
ἐν τῇ κεφαλῇ, καὶ βάρους ἐν τῷ μετώπῳ.

ἔχει δὲ καὶ ἐρυθρότητα εἰς τὰς φλέβας τῶν
ὀφθαλμῶν. καὶ ἐν τῷ προσώπῳ, μετὰ πλησ-
μονῆς τῶν φλεβῶν τῶν ἐν τοῖς αὐτῆς μήνιγξιν. εἰ δ'
ὑπάρχει ἀπὸ ξανθῆς χολῆς, αἰσθάνεται ὁ
πάσχων θέρμης σφοδροτάτης ἐν τῇ κεφαλῇ καὶ
ξηρότητος ἐν τοῖς μυκτῆρσι καὶ ἐν τῇ γλώττῃ. ἀ-
γρυπνεῖ τε καὶ διψᾷ. καὶ πλεονάζει ὁ πόνος
ἐν τῷ δεξιῷ μέρει τῆς κεφαλῆς. εἰ δὲ ἐστιν ἀ-
πὸ μελαίνης χολῆς. ἐστιν ὁ πόνος ἐν τῷ ἀριστερῷ
μέρει. μετὰ βάρους, καὶ ψυχρότητος, καὶ ἀγρυ-
πνίας. καὶ γὰρ ἐν τῷ μέρει τῷ ἀριστερῷ, πρόκει-
ται ὁ σπλήν. ἐστι δὲ ψυχρὸς καὶ ξηρός. εἰ
δὲ ἐστιν ἀπὸ τοῦ φλέγματος, αἰσθάνεται ὁ
πάσχων βάρους καὶ ψυχρότητος ἐν τῇ κεφα-
λῇ. καὶ τὸ πλεῖστον πάσχει εἰς τὸ ὄπισθεν τῆς
κεφαλῆς. φησὶ γὰρ ὁ σοφώτατος γαληνός. ὅτι ἡ κε-
φαλὴ μερίζεται εἰς μέρη δ'. καὶ τὸ μὲν ἔμπρο-

αθιον μέρος ἢ τὸ μέτωπον, ἐστὶ τοῦ αἵμα-
τος· ἐξ αὐτοῦ γὰρ κινεῖται, καὶ ἀλγεῖ· τὸ δὲ
μέρος τὸ δεξιὸν τῆς κεφαλῆς, ὑπάρχει τῆς ξαν-
θῆς χολῆς· ἐξ αὐτῆς γὰρ κινεῖται καὶ ἀλγεῖ·
τὸ δὲ ἀριστερὸν μέρος, ἐστὶ τῆς μελαίνης χολῆς·
ἐξ αὐτῆς γὰρ κινεῖται καὶ ἀλγεῖ· τὸ δὲ ὄπισθεν
ἐστὶ τοῦ φλέγματος· ἐξ αὐτοῦ γὰρ κινεῖται καὶ
ἀλγεῖ· καὶ ἐν τούτοις τοῖς μερισμοῖς, σημεῖα
ἀληθῆ· βοηθεῖ δὲ τῷ ἰατρῷ εἰς τὸ, γνῶναι τὴν
πρέπουσαν θεραπείαν τοῦ πάθους· τήν τε
ποιοῦσαν αἰτίαν τὴν νόσον, διότι συμβαίνει
τισὶν ἡ κεφαλαλγία ἐξ ἡλιακῶν ἀκτίνων
καὶ θερμότητος· ἑτέροις δὲ ἐξ ἀερώδους θερ-
μότητος· ὁ δὲ γαληνὸς φησὶν ἐν τῷ περὶ αἰ-
τίας συμπτωμάτων· ὅτι ψυχραινομένης
τῆς κεφαλῆς ἐκ τοῦ ἀέρος, καταβιβάζονται
ἐξ αὐτῆς ῥευματισμοὶ τῶν περιττωμάτων·

εἰ δὲ θερμανθῇ ἐξ ἡλιοκαΐας, ἕλκει τὰ πε-
ριττώματα, ἡ κεφαλὴ ἀπὸ παντὸς τοῦ σώ-
ματος. ὥσπερ ἡ σικύα τὸ αἷμα. ἀποδιώκει
δὲ ἀπ' αὐτῆς ἐς ὁμαλώτερον μέρος, τὸ πλε-
ονάζον αὐτῇ ὡς τοῖς ῥευματισμοῖς, ὥσπερ
ἐν τοῖς μυκτῆρσι καὶ τῷ φάρυγγι. ἐνίοις δὲ συμ-
βαίνει ἡ κεφαλαλγία, ἐξ οἰνοποσίας. συμβαί-
νει δὲ ὁ πόνος τῆς κεφαλῆς, ἀπό τε οἰδήμα-
τος καὶ κρουόματος καὶ πλώσεως ἐν τῇ κεφαλῇ.
ἔστι δὲ καὶ χρεία πάλιν μετὰ τὴν τῶν προει-
ρημένων αἰτιῶν γνῶσιν, τεκμαίρεσθαι καὶ
τοῦ χρόνου κατάστασιν. ἢ ὑγρὰ, ἢ ψυχρά, ἢ θερ-
μὴ εἴη. καὶ τὴν κρᾶσιν τοῦ ἀνθρώπου καὶ τὴν
ἡλικίαν. καὶ τὴν συνήθειαν. τήν τε βρῶσιν καὶ
πόσιν. ἐπὶ αὐτῆς τούτων γνῶσιν, τεκμαίρεται ὁ
ἰατρὸς τὴν θεραπείαν. ἡμεῖς δὲ λέξομεν πᾶν
εἶδος θεραπείας ὧν προτρεπόμεθα κατὰ τὸν κα-

νόνα τῆς τέχνης. Καὶ ταῦτα μετὰ τὸ ἄρ-
ξασθαι καὶ θεωρεῖν, εἰ ἄρα ἡ κεφαλαλγία
ἐγεννήθη ἀπὸ περιττώματος τῆς κεφα-
λῆς ἰδίως. ἢ ἀπὸ κοινωνίας στομάχου.
ἢ ἑτέρου μορίου. εἴπερ δὲ ἐστὶν ἐκ πε-
ριττωμάτων τῶν γινομένων ἐν τῇ κεφα-
λῇ, σκεπτέον πάλιν ὁποῖον περίττωμα
ἐστὶ τὸ ποιοῦν τὴν νόσον. καὶ εἰ ἐστὶν αἷμα
ἢ ξανθὴ χολή, φλεβοτομητέον μὲν τὴν κεφα-
λικήν. ἐστὶ γὰρ αὐτοῦ ἴαμα καὶ θεραπεία.
εἰ μή τι ἡμᾶς κωλύει. οἷον πυρετὸς
λάβρος. ἢ ἀδυναμία φανερά, ἢ ψῦχος
πολύ. εἰ μὲν οὖν ἐστὶν ἀδύνατος ὁ πά-
σχων μὴ ὄντος πυρετοῦ, σικυαστέον ἐπά-
νω τοῦ τραχήλου σικύαν μίαν εἰς
τὸν ἰνίον τοῦ σπέλους. Καὶ ἐν τῷ τένοντι
τοῦ σφονδύλου. ἢ διέρευσις τοῦ αἵμα-

τος, ἔσω κατὰ δύναμιν. φησὶ γὰρ ὁ γα-
ληνός· τὰ ὠφελοῦντα τὸ αἷμα, ταῦτα
καὶ τὴν ξανθὴν χολὴν ὀνίνησι διὰ τὴν ὁ-
μοίαν θερμότητα. καὶ τὰ ὠφελοῦντα
τὸ φλέγμα, καὶ τὴν μέλαιναν ὠφελοῦσι
χολήν· ὅμως οὐ καθολικὴν παρέχουσι
τὴν ὠφέλειαν, ὡς τὸ ἰδιοτρόπως εἰς ἐκεῖ-
νο τὸ πάθημα γινόμενον. ἐπειδὴ δὲ τὰ ση-
μεῖα ἐμφαίνοντα τὴν ξανθὴν χολὴν πλεο-
να τοῦ αἵματος, δεῖ θεραπεύειν διὰ φαρ-
μάκων κενούντων αὐτὴν καὶ πραϋνόντων
τὴν ταύτης ὀξύτητα· ὡς τὸ ἀπόζεμα
τῆς μελαίνης κασίας, τῶν δαμασκηνῶν τῶν
ζιζίφων. τοῦ μάννα. τῶν ἴων. τοῦ κιτρίνου
μυροβαλάνου καὶ τῶν ὁμοίων. πινέτω δὲ
καὶ κατὰ πότον τῶν δαμασκηνῶν. ἢ τῶν
ἴων. ἢ τοῦ ὀξυσακχάρου. ἢ πινέτω τὸ ἀπο-

θλιβῶσι ὕδωρ τῶν ῥόδων, μετὰ σολομωνὴ δ´

σάκχαρος. εἰ δ' ἀπύρετός ἐστιν ὁ πάντων, τὸ πάσχων

πινέτω τὸ ἀπόζεμα τῶν κιτρίνων μυρο-

βαλάνων, μετὰ μιᾶς ℥ πικρᾶς ἱερᾶς·

ἐσπλασμένης διαπεπλυμμένης ἀλόης.

ὅταν δὲ τὸ σῶμα καλῶς καθαρῶμεν. τότε

προστάττομεν χέειν ἐπὶ χεῖρας καὶ πόδας

καὶ κεφαλὴν τοῦ πάσχοντος, ὕδωρ χλια-

ρόν. ἐψημένα ἐν αὐτῷ, χαμαίμηλα. ἄνθη

ἴων. κριθὴν συντεθλασμένην. φύλλα ῥόδων

ἐρυθρῶν. εἰ δὲ ἐστὶν ἄϋπνος, προστίθεμεν

καὶ φλοιὸν κωδύων. τίθεται δὲ ἐν τῇ κε-

φαλῇ, ἐν ἀρχῇ τῆς νόσου, ῥόδινον δὲ συγκε-

κραμμένον μετ' ὄξους ἀπ' οἴνου. ἢ ῥοδο-

στάγματος ἢ ἱερακίου. ἢ τῆς νυμφαίας. ἢ

τοῦ τῆς κολοκύνθης σπέρματος. ἢ ἄλλα

ἐξ αὐτῶν πρόσφορα εὑρεθῶσιν. ἀναμε-

να μετὰ τοῦ ἀποθλιβέντος τοῦ τῆς κο-
λοκύνθης φλοιοῦ, ἢ μετὰ ῥοδοστάγματος.
ἢ τοῦ χυλοῦ τῆς ἀνδράχνης. ἢ τῆς ἰτέας. ἀ-
λειφόμενα ἐν τῇ κεφαλῇ. θὲς δὲ ἐν τῷ τῆς
κεφαλῆς βρέγματι καὶ τοῖς μήνιγξι τὸν
φακὸν τὸν ἐπὶ τῶν τεταμένων καὶ τὴν ἀν-
δράχνην. ἢ τὸ ἀπόζεσμα τῆς κολοκύν-
θης. κείσθω δὲ καὶ ἔμπλαστρος ἐπ' αὐτῷ
ἐν τῷ μετώπῳ καὶ τοῖς μήνιγξι συντεθειμέ-
νης ἐκ λευκοσαντάλου. ῥόδων ἐρυθρῶν. καφου-
ρᾶς. κοιθαλδέρου ἐζυμωμένου μετὰ ῥο-
δοστάγματος καὶ χυλοῦ τοῦ ψυλλίου. ἢ
τῆς ἀνδράχνης, ἢ τῆς μαλάχης. φησὶ δὲ
καὶ ὁ διοσκουρίδης ὅτι ἐὰν λάβῃσι ἢ πιὸν
ὅσον χαρουβης καὶ μίξῃς μετὰ ῥόδου καὶ
ἀλείψῃς τὸ μέτωπον καὶ τοὺς μήνιγγας,
παύσεις τὴν χολώδη κεφαλαλγίαν, τῷ χα-

εἰς ῥευματισμῶν ὑγρῶν· ἐπειδὴ ὅτι ἐὰν
συνθλασθῶσι τὰ φύλλα τῶν ἀμπέλων μετὰ
τῶν ἑλίκων αὐτῶν καὶ τεθῶσιν, ὀνίνησι τὰς
χολώδεις κεφαλαλγίας· πταρέτω δὲ ὁ νο-
σῶν μετὰ τὴν κάθαρσιν τοῦ σώματος, διὰ
χυλοῦ ἀνδράχνης· σταζομένου εἰς τοὺς μυ-
κτῆρας· ἢ τοῦ χυλοῦ τοῦ ἀποζέσματος
τῆς κολοκύνθης· μετὰ ἐλαίου ἢ τῆς νυμ-
φαίας· ἢ λαβὼν ἔλαιον, γάλα τῆς τιθηνού-
σης θῆλυ· σάκχαρ ἀνὰ μέρος α΄ σύσταζε
ταῖς ῥισὶ καὶ πταρέτω. εἰ δὲ ἔστι μετὰ τῆς
κεφαλαλγίας καὶ ἀγρυπνία, πταρμοὺς
κινούμενοι διὰ ὑοσκυαμίνου ἐλαίου· ἢ ὀπίου
ἐλαίου· ἢ ἐλαίου μετὰ χυλοῦ τῶν φύλλων
τῆς θριδακίνης· μαλαχθήτωσαν δὲ καὶ οἱ
πόδες τοῦ κάμνοντος· μετὰ ἐλαίου καὶ ἅ-
λατος· ἀποφευγέτω δὲ ὁ πάσχων τοῦ, χρε-

σθαι τοῖς ἐπὶ κεφαλῆς ἐψήμασιν ἢ πταρ-
μοῖς. εἰ μὴ μετὰ κένωσιν τοῦ σώματος· μή
πως ἀφέλκεται τὸ περίττωμα ἐπὶ τῆς κε-
φαλῆς. διὰ τοῦτο γὰρ μετὰ τὸ, κενῶσαι τὸ σῶμα,
κατὰ δύναμιν ἀρχόμεθα καὶ τῶν τοπικῶν
θεραπειῶν. οἷον ἐμπλάστρων. ἀλοιφῶν καὶ
πταρμικῶν. εἰ δ' ὑπάρχει μετὰ τῆς κεφα-
λαλγίας ῥευματισμός. οὐκ ἐπιτιθέαμεν τῇ
κεφαλῇ, τι τῶν ἐλαιωδῶν· ἀλλ' ἀρκούμεθα
ῥοδοσταγματι. ἢ τῷ ὕδατι τῆς ἰτέας. ἢ τῆς
ἀνδραχνῆς. ἢ τῷ ἀπὸ τοῦ ξύσματος τῆς κο-
λοκύνθης. ἢ τοῦ ἀρνογλώσσου καὶ τοῖς
ὁμοίοις. οὕτως γὰρ καὶ ἡμῖν ὁ γαληνὸς διέ-
θετο, ἐν τῷ περὶ κράσεων. ἡ δίαιτα δὲ ἔστω,
χρυσολάχανα, κολοκύνθη. ἀνδράχνη, καὶ
βλῆτα. εἰ δ' οὐκ ἔστιν ἐμφανὴς ἡ θερμασία,
ἐσθιέτω ὀρνιθόπουλα καὶ στρουθίον τὸ κε-

γόμενον ζωρῶς, ἢ περδικας· καὶ τὰ ὅμοια.
εἰ δὲ ἐστιν ἡ κεφαλαλγία ἀπὸ φλέγματος
ψυχροῦ· ἢ μελαγχολικοῦ καὶ φαίνονται
τὰ προλεχθέντα σημεῖα· δεῖ προτρέπειν
τὸν νοσοῦντα πίνειν τὴν τοῦ γαληνοῦ ἱεράν,
ἢ τοῦ λογαδίου, ἢ τοῦ θεοδώρου· ἢ τοὺς στο- θεοδωρήτου
μαχικοὺς κόκκους. ἢ τὴν κλωστικὴν ἱεράν·
καὶ χρᾶσθαι ἐμέτοις διὰ ῥαφάνων μετ᾽
ὀξυμέλιτος· καὶ ἀναγαργαρισμοῖς διὰ
τῆς πικρᾶς ἱερᾶς ἢ νάπυος. ἢ πυρέθρου·
μετὰ ὀξυμέλιτος. ῥαίνειν δὲ ἐπὶ τῆς κε-
φαλῆς ὕδωρ ἑψηθέντα ἐν αὐτῷ χαμαί-
μηλα· ἄνηθα· σάμψυχον· μυός ὦτα.
ἐλελίσφακον· ἀβρότονον· ἀλείφεσθω
δὲ ὁ μελαγχολικὸς ἔλαιον μετὰ τῆς ἀναγ-
γαλίδος. ἀμυγδαλέλαιον πικρόν· ἢ ἔλαιον
τῆς πικρᾶς κολοκύνθης. ὁ δὲ φλεγμα-

πώδης ἀλειφέσθω ἰασμελαίῳ· ἢ ναρδίνῳ
ἢ πηγανίνῳ· ἢ τῷ ἐλαιομακάρῳ, ὃ λέγεται
καχούσῃ. ἢ μοσχελαίῳ· χριέσθω δὲ ἔμπλαστρος
ἐπὶ τῶν μηνίγγων, διὰ κόμμεως σμύρνης· εὐφορ-
βίου, καὶ κρόκου, καὶ μετὰ τὴν χρῖσιν, χριέ-
σθω πταρμικὸν διὰ χυλοῦ κράμβης, ἢ σεύτλου,
ἢ χαμαιμηλίνου· ἢ μετά τινων τῶν θερμῶν
ἀλειμμάτων ὧν προείπομεν. εἰ δὲ μετὰ
τὸν πταρμὸν αἰσθάνεται ὑπεκκαύσεως ἐν
τοῖς μυκτῆρσι, τότε πταρέτω διὰ γάλακ-
τος γυναικὸς θηλαζούσης θῆλυ, ἀλλ' ἄρσεν
εἰ δὲ μὴ αἰσθάνεται θέρμης, ἐμφυσήσουσιν εἰς
τοὺς μυκτῆρας αὐτοῦ στρουθίον ἢ νίτρον ἢ
μελάνθιον· φησὶν ὁ Γαληνὸς ὅτι ὁ σφερμινόμενος
τοῦ ἀτμοῦ τοῦ ἀνίσου, παύει τὴν κεφαλαλ-
γίαν· τὰς συμβαινούσας ἀπὸ ὑγρότητος.
καὶ διαλύει τὸν ῥευματισμόν. ὁ δὲ χυλὸς

του ἢ δυσόσμου ἀλειφομένου τῷ μετώπῳ
καὶ ταῖς μήνιγξιν, ὀνίνησι κεφαλαλγίαν
τὴν συμβαίνουσαν ἀπὸ ὑγρότητος, καὶ ἀ-
πὸ πνευμάτων φλεγματωδῶν· καὶ χρῆ-
σθαι βαλανείοις συχνοῖς· ἡ δὲ τροφὴ αὐ-
τοῦ ἔστω, στρουθία ἄγρια· καὶ τὸ ἀπόζεμα
τῆς ἐρεβίνθου. Καὶ διὰ τῆς ἴσης οἰκονομί-
ας ἰατρευέσθω ὁ ἔχων κεφαλαλγίαν ἀπὸ πνευ-
μάτων παχέων. εἰ δὲ ἔστιν ἡ κεφαλαλγία
ἐξ οἰδήματος ἢ κρούσματος, ἢ πτώσεως,
δεῖ τέμνειν κρανιακὴν φλέβα· καὶ ἐκβάλ-
λειν τὸ αἷμα εἰς δύο καταβολὰς ἢ τρεῖς. του-
τέστιν σπ με ὀλίγον καὶ ἄθελον καὶ τὴν μετὰ
ταῦτα. εἰ δ' οὐκ ἔστιν κώλυσις τίς, οἷον γῆρας
ἢ ἀσθένεια ἢ χειμών, καθαιρέσθω δι' ἀπο-
ζέματος ὀξυφοινίκων. καὶ δαμασκηνῶν.
ζιζύφων. ἴων. σταφίδων. κασσίας μελαίνης.
μάννα καὶ τῶν ὁμοίων· συχνάκις δὲ πινέτω

χυλοῦ στρύχνου βεβρεγμένον, καὶ διυλισ-
μένον ὀβολ. δ´ μετὰ κασσίας μελαίνης οὐγγία
ς´´. πινέτω δὲ πάλιν ἱερὰν στ´ τὸ ς´´. ἢ πε-
πλυμμένην ἀλόην ∠ ς´´. καὶ μετὰ ταῦτα
χριέσθω ἔμπλαστρον συντεθειμένον ἀπό τε
στρύχνου. φύλλα ἰτέας. ἴων. κεδρίνου ἀ-
λεύρου. σαντάλου ἐρυθροῦ καὶ τῶν ὁμοίων.
πλαρέτω δὲ διὰ χυλοῦ στρύχνου. ἢ γάλα-
κτος γυναικὸς τιθηνούσης κρέιον. ἢ ἰέλαιον.
ἢ ῥοδέλαιον. χριέσθω δὲ εἰς τὸ μέτωπον, ἔμ-
πλαστρος συντεθειμένη ἀπὸ σανδάλου κοκ-
κίνου καὶ λευκοῦ κηροῦ. ὀλίγον ἀρμενικοῦ
βώλου, ζυμωμένων μετὰ χυλοῦ στρύχνου. πι-
νέτω δὲ τὴν πτισάνην, μετὰ ἀποζέματος
τῶν γλυκέων ῥόδων. καὶ πινέτω ὕδωρ μετὰ
ζουλαπίου. ἢ μετὰ τοῦ ἀποζέματος τῶν
ζιζίφων. ἢ τῶν ἴων. ὀσφραινέσθω δὲ τὰ ῥόδα
τά τε. τὰς μυρσίνας. τὸ σάνταλον. ἐζυμαμέ-

νον μετὰ ἐροδοστάγματος. ἐρινάτω δὲ ἐξ
ἀρχῆς εἰς τὸ οἴδημα, ἀπόζεμα ἐρόδων. σι-
δίων. φάκκου. καὶ μυρσίνης. καὶ μετὰ ταῦ-
τα ἀλειφέτω ἐροδέλαιον κατὰ μόνας. ἢ μετὰ
λεκίθου τοῦ ὠοῦ. περιδεθέτω δὲ εἰς τὸ ἐπίθη-
μα τοῦτο μετὰ τὴν κλύσιν τοῦ σώματος. τα-
χαμαίμηλον. κριθὴν κεκαθαρισμένην. βρε-
φεάθω δὲ κολοκύνθην καὶ ἀνδράφαξιν. ὀρ-
νιθόπουλα. καὶ τὸ ἐρυθρὸν τοῦ ὠοῦ. εἰ δὲ ἔστιν
ἀπὸ στομάχου ἡ κεφαλαλγία ἐκ χυμοῦ θερ-
μοῦ ἢ φλεγματικοῦ, ἢ κεχολωμένου. πλεο-
νάζοντα εἰς τὸν στόμαχον αὐτοῦ. ἔχει δὲ οὕτως
ὅπερ ὀλιγωρεῖ ἢ κλινεται. καὶ ἀγωνιᾷ. καὶ
κλονίζεται τὴν καρδίαν. δεῖ πρὸς ταῦτα αὐ-
τὸν τοῦ ἐμεῖν. κόψας κόψας τοίνυν ῥεφάνου
τὰς ῥίζας. βρέξον εἰς ὀξύμελι ἡμερονύκτιον,
εἶτα δὸς φαγεῖν. πινέτω δὲ καὶ τὸ ὀξύμελι

καὶ ἐμέσει ἢ χολήν· ἢ φλέγμα· ἢ ἀμφότερα.
εἴπερ δὲ ὁ ἔμετος κωλυθείη· κλυσώσομεν
τὸν ἄρρωστον μετὰ τοῦ ἀποβρέγματος τῆς
ἀψινθίας ἢ τῆς πικρᾶς ἱερᾶς· ἢ μετά τινων
καθαρτικῶν τοῦ στομάχου· ἢ στομαχικῶν κόκ-
κων· ἢ τοῦ ἀποβρέγματος τῆς ἀλόης· ἢ τῆς
ἱερᾶς καὶ τῶν ὁμοίων· ἐπίθες καὶ κατὰ τοῦ
στομάχου, μυρσίνην, ἢ ῥόδα· ἰατρευέσθω δὲ
ἡ κεφαλὴ μετὰ τὴν κάθαρσιν τοῦ στομάχου
καθὼς προείπομεν. εἰ δ' ἐστὶν ἡ κεφαλαλγία
ἐξ ἐκκαύσεως ἡλιακῆς ἔλαινον ἐν τῷ μετώπῳ
καὶ ταῖς μήνιγξιν, ῥοδέλαιον ἀναμεμιγμέ-
νον μετὰ ψυχροῦ ὕδατος, ἢ μετ' ὄξους. εἰ δ'
ἐστὶν ἡ κεφαλαλγία σφοδροτάτη καὶ ὑπέκ-
καυσις ἰσχυρά· ζωννυέσθω, μετὰ τοῦ ῥο-
δέου, καὶ χυλὸν ἀνδράχνης· ἢ τοῦ ξύσματος
τῆς κολοκύνθης· ἢ τὸ ἀπόπιεσμα τοῦ τῆλ-

λίου. ἢ τὸ ὀμφάκιον ὕδωρ τῆς σταφυλῆς.
ἢ τῶν ῥόδων, ἢ τοῦ ἀλζάου. πινέτω δὲ τὸ ἀ-
πόζεμα τῶν ῥοιῶν καὶ τῶν ἰῶν. ἢ πιέτω τὸ
ψύλλιον μετὰ ζουλαπίου. καὶ πλυνέτω τοὺς
πόδας, ὕδατι θερμῷ. εἰ δὲ ἐστὶν ἡ κεφαλαλ-
γία ἐκ ψυχρότητος τοῦ ἀέρος, δέον τοῦ ἐπιχέαι
εἰς τὸ ἔμπροσθεν μέρος τῆς κεφαλῆς, ἐκ τῶν
ἀλειμμάτων τῶν θερμῶν. ὡς τὸ ἐφήμερον τὸ
λεγόμενον γίζη. ἢ τὸ ναρδέλαιον. ἢ τὸ σαμψυχέλαιον.
πλυνέσθω δὲ ἡ κεφαλὴ μετὰ ἀφεψήμα-
τος χαμαιμήλου. καὶ ἀνήθου, καὶ σαμψύχου.
καὶ ἐκλὶλ ἐλμίλικ. γινέσθω δὲ ἡ ῥοῖσις
τοῦ ἀποζέματος ἐπὶ τῆς κεφαλῆς κατὰ βρα-
χὺ ἵνα ἡ δύναμις τοῦ ἀποζέματος ἐπὶ πλεῖον
ἐν τῇ κεφαλῇ διαμένῃ. ἕτοιμα δὲ καὶ τὰ
προγραφέντα φάρμακα, εἰς θεραπείαν τῆς
κεφαλαλγίας ὡς πεπειράμεθα. καὶ ἃ ἔχα-

βοηθεῖ ἐκ τῶν πρὸ ἡμῶν εὐφυεστάτων τῆς τέχνης ταύτης· ἡ δόσις ἐξ αὐτῆς 𐅵 α΄. ἄχει 𐅻 α΄. λαμβάνεται δὲ μετὰ θερμοῦ ὕδατος. ἡ δὲ τροφὴ, ὀρνιθόπουλα. ἢ πέτινα ἀδύεραξ μετὰ σταφίδων ἐκγεγαρτισμένων. ἢ δαμασκηνῶν. ἢ θασίων. ἢ κρόκου καὶ μέλιτος ὀλίγου. οἶνον δὲ πινέτω, τὸν ἀνθοσμίαν:

Στα ἱερὰς συντεθειμένη παρὰ μοναχοῦ ἰωάννου τοῦ δαμασκηνοῦ. ὠφελοῦσα εἰς σκότωσιν ὀφθαλμῶν. καὶ κεφαλαλγίαν. συμβαίνουσαν ἀπὸ φλέγματος, καὶ μελαίνης χολῆς. καθαίρει τὸν στόμαχον καὶ δυναμεῖ τὸ ἧπαρ:-

Λαβὼν καρποβάλσαμον, ξυλοβάλσαμον. ξυλοκασίαν. λεπτοκινάμωμον. στάχυος ἰνδικοῦ. ἄσαρ. κυβέβε. μαστίχην. μάκερ. καρυον ἰνδικόν. σχίνανθον. καρυόφαλον ἀνὰ

ϛΓ Γ· κρόκος ϛΓ ϛ'· ἀλόην ἠπατίτ(ιδα)· ϛΓ λϛ'.
κοπανίσας τὰ πάντα καὶ σήσας, φύρασον
μετὰ μέλιτος ἀποαφρισμένου· καὶ συστήσας,
χρῶ· ἐδοκιμάσαμεν γὰρ αὐτὴν καὶ ηὐχαρι-
στήσαμεν :—

αὖθις ἑτέρα ἐλέα· συντεθειμένη παρὰ τοῦ αὐτοῦ
δαμασκηνοῦ· ἐκ τοῦ αὐτοῦ συγγράμματος
τοῦ ὁδηγοῦ. ὠφελοῦσα εἰς σκότωσιν ὀφθαλ-
μῶν· ἢ ἀμβλυωπίαν. καὶ βάρος σώματος
ἀπὸ τινῶν μελῶν τῆς μελαίνης χολῆς. καὶ τῶν
περιττωμάτων τοῦ ψυχροῦ φλέγματος. καὶ
γλίσχρου. εἶπε δὲ ὅτι ἐστὶν ἀντὶ τοῦ λογαδ(ίου).
καὶ ἀντὶ τῶν ἱερῶν μαλθακωτέρα ἐνέργειαν
καὶ ὠφέλειαν κέκτηται. καὶ ταύτην ἐδοκιμάσαμεν :—

λαβὼν ἀλόην ἠπατίτιδα, ϛΓ Γ. ἐπίθυμον κό-
στον τοῦ φυομένου παρὰ τῆς θαλάσσης ἀνὰ ϛΓ Γ.
εὐφόρβιον. κνῆκον. στάχος. χαμαίδρυω ἀνὰ

ϛΓ δ΄. καρυόφυλλον, ϛΓ ϛ΄. ἄκορον μαστ.

ξυλοκασίαν ἀνὰ ϛΓ ε΄. ξυλοβάλσαμον < δ΄.

λευκοπίπερ. μακροπίπερ. γλυκανήν. ἄμω-

μον. ἀνὰ ϛΓ β΄. σκαμμωνίαν ὅπληὺ εἰς μῆλον

ἢ εἰς κυδῶ, ϛΓ α΄. ζυμωθήτωσαν τὰ πάντα, μετὰ

μέλιτος ἀπηφρισμένου. καὶ καλαχέσθήτω

ἡ ἱερὰ αὕτη, ἄχρι μηνός. ἢ β΄ τοῦ παλαιω-

θῆναι, ἐν σκεύει. ἡ πόσις. ϛΓ α΄. μετὰ θερμοῦ

ὕδατος. εἰ δὲ βοῦ συχνῶς πίνειν, πινέτω

ϛΓ τὸ ξηρὸν, ἔχει δὲ ἰδίωμα ὠφελείας καὶ με-

γίστην χάριν καὶ σπληνικὴν. πολλάκις καὶ εἰς

τὰς πρωΐας πίνεται αὕτη ἡ ἱερά.

Κόκκοι γαληνοῦ. ὀνίνησιν ἅπαν περίττω-

μα κάκιστον, κινούμενον ἀπὸ τε φλέγμα-

τος καὶ χολῆς ἀλμυζούσης ἐν τῇ κεφαλῇ.

ἀπὸ τοῦ στομάχου. ξηραίνει αὐτὴν ἀπὸ τῆς σαρ-

κὸς διὰ τῆς κοιλίας καὶ ὀξυδορκίαν παρέχει.

Λαβὼν ἀλόην π̄ πα(ρὰ) τοῦ σκαμμωνίης· κολοκυν-
θίδος ἐντεριώνων· ἀψίνθιον ρωμαϊκόν, μαστί-
χην ἀνὰ ℥ β´. καὶ τὰ πάντα, ζύμωσον· μετὰ
χυλοῦ στρύχνου· καὶ ποίησον κόκκους ὀρεβίν-
θου μέγεθος ἢ πόσις, κόκκοι ζ. μέχρι
καὶ θ πρὸ τοῦ ἀρίστου καὶ μετὰ τὸ ἄριστον,
πολλάκις· καθαίρει γὰρ τὴν κεφαλήν· καὶ
καταβιβάζει τὰ ἐν αὐτῇ ὀπισθεσωρευμένα
περιττώματα· ὠφελεῖ δὲ καὶ εἰς τὴν ἀλω-
πεκίασιν μάλιστα γε ἢ προσθήσεις εἰς αὐ-
τὴν ἱερὰν πικρὰν ∠ α´. ἑνουμένων δὲ τῶν
τοιούτων εἰδῶν· εἰσὶ δὲ ιγ ποτοὶ τέλειοι καὶ
ὁ θέλων λαβεῖν ποτὸν τέλειον· ἔξω ἡ στάθμη
τοῦ ποτοῦ ∠ α´ καὶ γ´´. ἢ ἥμισυ χαρούβας.
ὁ λαμβάνων δὲ τὴν τοιαύτην στάθμην τοῦ δὲ
τοῦ πόματος λαμβανέτω μετὰ ἐπιτη-
ρήσεως καὶ διαίτης χρησίμου: —

στῆ συντεθειμένη παρὰ μοναχοῦ ἰωάννου τοῦ δαμασκηνοῦ εἰς τό, καθαίρεσθαι τὴν κεφαλὴν καὶ τὸν στόμαχον. λαμβάνεται δέ, ἐν παντὶ καιρῷ· κινοῦσα κλύσιν εὔθετον:—

Λαβὼν ἀλόην ἢ πατελίδα ℥ ς΄. μαστίχην ℥ α΄. ἀλυπίαν ὀυγ΄ ι΄. ἔσω δὲ ἐρυθρά, ὀυγ΄ γ΄. κοπανισθήτωσαν καὶ ζημιωθήτωσαν μετὰ χυλοῦ μαράθου, ἢ στρυχνοῦ. καὶ γινέσθωσαν ἐρεβινθαῖοι κόκκοι. ἡ πόσις ἐξ αὐτῶν, κόκκοι ιε΄. ἢ ιδ΄ μετὰ χλιαροῦ ὕδατος ἐν ὥρᾳ ὕπνου:—

ζυμωθήτωσαν

στῆλη τῆς δὲ καὶ δόσις στομαχικοῦ. ποίημα Ἰσαὰκ τοῦ Ἰβεχ· εἰς τὸ καθάρσιον τὴν κεφαλὴν καὶ τὸν στόμαχον. Καὶ εἰς πόνον ἀρμῶν, ἀπὸ παχέων περιττωμάτων:

καθάρσεως

Λαβὼν ἀλόην ἢ πατ΄. ἀλυπίαν λευκήν· φλοιοῦ μυροβαλάνου κιτρίνου. φλοιοῦ ἰνδικοῦ μυροβαλάνου. ἀψινθίαν ῥωμαϊκὴν ἀνὰ στ΄ α΄. σκαμ—

μωνίαν, κολοκυνθίδος ἐντεριώνην. β δελ-

λιον γεραννίου, ἄνισον· μαστίχην ἀνὰ ℒ α.

κόψας σήθας, ζύμωσον μετὰ ἀποζέματος

μαράθου· καὶ γενέσθωσαν κόκκοι ὡς πίπερ,

ἡ πόσις ἐξ αὐτῶν, ϛ΄ μετὰ χλιαροῦ ὕ-

δατος μετὰ ἐπιτηρήσεως καὶ διαίτης. ἔστι

δὲ δεδοκιμασμένη:- ἑτέρα:

τοῦ ἁγίου ἰωάννου τοῦ δαμασκηνοῦ, κα-

θαρτικοῦ, ξανθῆς χολῆς καὶ μελαίνης. καὶ

φλέγματος. ἐκτὸς αἰσθήσεως καὶ βλάβης. ἔ-

στι δὲ πεπειραμένη:-

Λαβὼν ἱερὰν πικρὰν ℒ ϛ΄΄. μυροβάλανον κί-

τρινον ὁμοίως ϛ΄΄. μυροβάλανον μέλαν. ἄνισον.

ἀγαρικὸν ἀνὰ δ΄ κερατίων. ἀλυπιὰν λευ-

κὴν ℒ α΄. ἀλόης ἰνδικὸν. ἐπίθυμον. ἀμ-

μι. σκαμμωνίαν. ἀνὰ δ΄΄ κερατίου, κό-

ψας σήθας, ζύμωσον μετὰ ἀποζέματος ἰντυ-

βου. ἢ μαράθρου. ἢ ἀψινθίας. καὶ ποίη-
σον κόκκους ὡς πίπερ. ἔστι δὲ πόσις μία.
καὶ πιέτω μετὰ χλιαροῦ ὕδατος:-

ϛπ̃λ πικρᾶς ἱερᾶς τοῦ Γαληνοῦ ἀπὸ τοῦ δε-
κάτου συγγράμματος. καθαίρουσα τὸν στό-
μαχον κεφαλὴν καὶ τὸ σῶμα, ἀπὸ τῶν χο-
λωδῶν περιττωμάτων τῆς ξανθῆς χολῆς
καὶ τοῦ φλέγματος. χρησιμωτέρα δὲ ἐστὶ
τῆς κοινῆς ἱερᾶς τῆς δεκάδος, καὶ πλεί-
ονα ὠφέλειαν μαλθακότητα ἔχειν:-

Λαβὼν κρόκον στάχος ἰνδικόν. φύλλα ῥόδων
ἐρυθρῶν. ἴα. ἀψινθίαν ῥωμαϊκὴν σχίναν-
θον. ξυλοκασσίας τὸ διπλοῦν. ἀσάρου μαστίχ(ης).
καρποβάλσαμον. λεπτοκινάμωμον ἀνὰ
μέρος α'. ἀλόην ἡπατίδα. ἐρυθρὰν ἴσην
τοῦ ὅλου. κόψας σήθας, σύστειλον. ἡ πόσις
ἔστω καθὼς ὑπάρχει ξηρὸν ϛΓ β'. εἰ δὲ

ζυμωθῇ μετὰ μέλιτος ἀπηφρισμένου ς Γο'.
εἰ δὲ βούλεται ὁ χρώμενος αὐτῇ συχνῶς
ταύτην λαμβάνειν, ζυμωθήτω τὸ ξηρίον μετὰ
τοῦ ἀποζέματος τῶν ἰντύβων. ἢ μαράθου. καὶ
πλασθῶσιν κόκκοι ὡς πίπερ. καὶ πινέτω
ς Γ α' ἐν τῷ ὕπνῳ μετὰ θερμοῦ ὕδατος. εἰ
δὲ βουληθῇ τὶς χρῆσθαι αὐτῇ ἐν τῷ ἔαρι
καὶ τῷ φθινοπώρῳ, πρόσθες εἰς τὴν σκευα-
σίαν μέρος ἓν σκαμμωνίαν, πινέτω νῆστις
μετὰ ὀξυμέλιτος. εἰ δὲ ἐστὶν ὁ πίνων καθυ-
γρος καὶ φλεγματώδης, πρόσθες μετὰ
τῆς σκαμμωνίας, καὶ ἀγαρικόν. καὶ τὴν
ἐντεριώνην τῆς κολοκυνθίδος. ἀγαρικόν.
ἀλυπίαν ἀνὰ μέρος α'. ἡ δὲ ἀλόη, ἔστω
κατὰ τὴν στάθμην πάντων τῶν εἰδῶν. ἡ πό-
σις ς Γ β':-

ἡ κοινὴ ἱερά:

Στάχος. λεπτοκινάμωμον. ξυλοκασίας τὸ

διπλοῦν. ἄσαρ. σχίνου ἄνθος. καρποβάλ-

σαμον. ξυλοβάλσαμον. κρόκον. μαστίχην

ἀνὰ μέρος α. ἀλόην ἡπατίτιδα ἴσην τοῦ ὅλου.

ἡ δόσις κερά α μετὰ τῆς σκαμμωνίας. χο-

εῖς δὲ τῆς σκαμμωνίας κεράτια γ.

Σωτήριος βοηθήματος:

Λαβὼν σενὲ. ἀγαρικόν. ἀλυπιάν ἀνὰ ∠ β.

συνθλάσον καὶ ἕψησον μετὰ σταφίδων οὐγ.

δαμασκηνῶν. τε. ζιζίφων τ. ὕδωρ λί α.

ἕψησον δὲ μέχρι ὅτου καταλειφθῇ τὸ γ.

καὶ μαλάξας, σύρωσον. εἶτα λαβὼν σακ-

χαρ. ποίησον ζουλάπην. καὶ λαβὼν ἐξ αὐτοῦ

οὐγγίαν α. ἔμβαλε μάννα οὐγ β. καὶ μα-

λάξας σακέλλισον. εἶτα λαβὼν μαστίχην.

ῥέον ἀνὰ κεροῦ β, σκαμμωνίαν κέρ(α)τ(ι)α

α. ἢ β, πινέτω:- Ξηρίον σ(ὺν) κοιλοῦ:

Λαβὼν ἴα κεκοπανισμένα. καὶ σεσησαμένα,

σφάλισον μετὰ ἀποζέματος τῶν δαμασκηνῶν.
σταφίδων καὶ μέλιτος ὀλίγου. ἡ χρῆσις ∠ε´.
καὶ πλείω καὶ ἐλάττω μετὰ ἐπιτηρήσεως
καὶ διαίτης. πινέσθω δὲ καθόπιαθεν ὕ-
δωρ χλιαρόν :-

Τὸ κλυσματικὸν ἔλιγμα:

Ῥεόν ποντικὸν οὐγγ. α´. νάρδον. μαστίχην. κινά-
μωμον ἀνὰ οὐγγ. ς´´. ἀλυπίαν ∠δ´. σκαμ-
μωνίαν ∠β´. κοπάνισον πάντα. καὶ ἕνωσον
εἰς δ´ οὐγγίας κυδωνάτου. ἡ πόσις ∠δ´:-

Εἰ τύχῃ πόνος ἐν τῷ βοηθήματι: καὶ ἀπὸ
ψύξεως:-

Λαβὼν κάρδαμον οὐγγ. β´, φρύξον εἰς ὄστρακον,
καὶ τρίψας, θὲς εἰς τὸ κάτω πρὸ τῶν ἑδρῶν.
καὶ ὀλίγον ἔσθε ἔλαιον σὺν ὀλίγῳ ὕδατι
θερμῷ. εἰ δὲ ἀπὸ θερμότητος τοῦ βοηθή-
ματος ὁ πόνος γίνεται, καὶ διὰ τὸ ἔχει ἡ ἀ-

γῶνα ἢ θέρμην ἢ φθορὰν γαστρός, πότισον μετὰ ζουλάπι τῶν ῥόδων τῶν πεφρυγμένων. ἐπιχει γρ. πεπεριάτες καὶ ἔσθιε ὀλίγον. κομ. πεφρυγμένον. ῥοῦ συριακοῦ ἀνὰ οὐγ α. διὰ δὴ τὸ μὴ ἐπέχειν καὶ κάτωθεν. ἰσιέτω εἰς θερμὸν ὕδωρ μετὰ μυροῦ καὶ τῶν λοιπῶν συμπικνωτικῶν :-

Εἰς ἐποχὴν γαστρός :

Λεπίδας δύο βαλάνων. ῑα. μέλι. ποίει βαλάνους :

Ἐκλειγμα τὸ διὰ μάννα :

Λαβὼν τα. ζάχ. μάννα ἀνὰ οὐγ γ. θάψια σπέρματα τῶν σικύων ἀνὰ οὐγ ε. σκαμμωνίαν ∠ ε. μαστίχην. ὠσσίον. χυλὸν γλυκυρρίζης. ἀνδράχνης σπέρμα ἀνὰ οὐγ β. κόψας σήθας, φύρασον μετὰ ζουλαπίου τῶν δαμασκηνῶν. ἡ δόσις οὐγ δ μετὰ ε. μετὰ ὕδατος χλιαροῦ :-

ἑτέρα

ἑτέρα σύνθεσις τοῦ διακλίσματος τοῦ μάννα. ἔστι δὲ ἐλαφρότατον, καὶ θαυμαστὸν ὠφελοῦσα εἰς τοὺς ἔχοντας θέρμην σφοδρὰν ἀπὸ ξανθῆς χολῆς:

Λαβὼν ῥόδα ἐρυθρά. ια. κουσουθην. ἴντυβόσπερμα ἀνὰ ∠ε. ἀλυπίαν. ζαγάκανθαν. θάσπα γλυκέα, ἀνὰ οὐγ γ. μαστίχην. λεπτοκινάμωμον. ἀνὰ ς'' οὐγ. μάννα ἰνδικόν ∠κ. κόψας, σήσας, ζύμωσον μετὰ ἰουλὰπ ἢ μήλιτος ἀπηφεισμένου. πρὸς θὲς καὶ σκαμμωνίαν ∠α. ἡ πόσις ἐκ τούτου οὐγ ς. μετὰ ὀπτιληρήσεως καὶ διαίτης. ἐὰν δ' οὐκ ἔχῃς μάννα ἰνδικόν, θὲς ἀντὶ τούτου μάννα τόπιον. εἰ δὲ θέλῃς δυναμῶσαι ταύτην τὴν σύνθεσιν, ἔσω ἡ ἀλυπία οὐγ ς. πρόσθες καὶ ἀγαρικόν. ∠. καὶ πολυπόδιον:~

Ἑτέρα σύνθεσις τοῦ διακρίματος, ἐλαφροτάτη καὶ θαυμαστή· ὠφελεῖ δὲ εἰς ἐκκαυσιν ἀπὸ ξανθῆς χολῆς:-

Λαβὼν ἰα < ι· γλυκύρριζαν· ἀνδράχνης σπέρμα· ζαράκανθαν· ἀνὰ < ς· σικύου σπέρματα ἀνὰ < β· ἀμύγδαλα γλυκέα κεκαθαρισμένα < δ· μάννα ἰνδικὸν < ι· σκαμμωνίαν < ε· ἡ δόσις < ζ· μετ᾽ ἐπιτηρήσεως καὶ διαίτης:

Κεφ. ια περὶ ἡμικρανίας:-

Ὅτι ἡ κεφαλὴ μερίζεται εἰς β· δεξιά τε καὶ ἀριστερά· καὶ ἀνὰ μεταξύ, γραμμὴ ἐκτεταμένη· χωρίζουσα μέσον τὰ ἀμφότερα τοῦ ἐγκεφάλου, φανερόν ἐστιν· ὁ πηνίκα γοῦν ἔσθ᾽ ἡ περίττωμα ἐπὶ τὴν κεφαλὴν ἀπὸ τῶν τεσσάρων χυμῶν, καὶ ἀποπέμψη αὐτὸ ἡ φύσις ἡ προνοοῦσα· εἰς τὸ μέρος τὸ δεξιόν,

ια

εἰς ἐκεῖνο τὸ μέρος γίνεται ἡ κεφαλαλγία.
εἰ δὲ εἰς τὸ ἀριστερόν, ἐν αὐτῷ ἐστὶν ἡ κεφα-
λαλγία. καὶ καλεῖται ἡμίκρανον. διότι
τὸ πάθος συμβαίνει εἰς ἓν τῶν τῆς κεφαλῆς
μερῶν καθὼς προείπομεν. εἰ μὲν οὖν
ὑπάρχει τὸ περίττωμα θερμόν, καὶ φαίνον-
ται τὰ τεκμήρια τῆς κεφαλαλγίας τῆς συμ-
βαινούσης ἀπὸ θέρμης, προείπομεν τέ-
μνειν κρανικὴν φλέβαν τοῦ ἀλγοῦντος μέ-
ρους. εἰ δὲ κορυφή ἐστιν ἡ πάσχουσα, τέ-
μνε τὴν καθόλου. εἶθ' οὕτω μεθ' ἡμέρας,
κλύσον δ' ἀποζέματος ἐλαφροῦ. ἤγουν μυ-
ροβαλάνων καὶ ἀνθέων κλυσάντων τὴν θέρ-
μην καὶ ἀποδιωκόντων ἢ λυόντων τὴν ὀξύ-
τητα. γινέσθω δὲ πταρμικὰ μετὰ ῥοδ(ίνου)
ἢ ἐλαίου μετὰ γάλακτος γυναικὸς θηλα-
ζούσης θῆλυ. γινέσθω δὲ καὶ τὸ ἀλγοῦν

μέρος μετὰ τοῦ ἀποζέματος τοῦ κολιάνδρου.
ἄλειφε δὲ τὸ πάσχον μέρος, σαντάλον. ῥόδα.
καφουράν. λαβὼν δὲ ἔλαιον τῆς σπορᾶς
τῆς κολοκύνθης. ἀπόζεμα σαμψύχου καὶ
ὀλίγον ὄξος, στάλαξον εἰς τὸ ἀλγοῦν μέρος.
διὰ τούτων γοῦν ὠφελεῖται ἡ κεφαλαλγία
ἡ γινομένη ἀπὸ θερμότητος. ἢ ἀλμὰν τῆς ξανθῆς
χολῆς. ἢ ἀφ' αἵματος ἀκρίτου περιττοῦ καὶ
θέρμης ἰσχυρᾶς. δεῖ οὖν λαβεῖν ὕδωρ κολο-
κύνθης καὶ ἑνοῦν μετὰ ἐλαίου. καὶ πταρ-
μὸν κινεῖν ἐπὶ τοῦ ἀλγοῦντος μέρους. καὶ
εἰ ἔστιν ἡ κεφαλαλγία ἐπὶ ὅλης τῆς κεφαλῆς,
πταρέτω ἀπὸ τῶν δύο μυκτήρων ἑκατέρων.
ὠφελεῖ δὲ εἰς τὴν ἡμικρανίαν τοῦ, λαβεῖν
χυλὸν σαμψύχου καὶ σησαμέλαιον καὶ ἐμβα-
λεῖν εἰς τὸ ὠτίον τοῦ ἀλγοῦντος μέρους. εἰ
δὲ ἔστιν ἡ ἡμικρανία ἀπὸ περιττώματος

ψυχροῦ, κλυσάσθω ὁ νοσῶν, διαλίνος τῶν

μεγάλων ἱερατικῶν· ἢ διαλίνων ἐδῶν τῶν

πεπληρωθέντων. πταρέτω δὲ μετὰ ναρδοκελτικῆς

ἢ χαμαιμήλου. γαργαζέτω δὲ ἐξ ἀμφοτέρων,

εἰς τὸ ὠτίον τοῦ ἀλγοῦντος μέρους· ἢ λα-

βὼν φύλλα δάφνης· φύλλα πηγάνου ἀνὰ

μέρος α', ἕψησον μετὰ ὕδατος καὶ ὄξους

καὶ κατάπλασσε τὴν κεφαλήν. πολλάκις γὰρ

αὐθωρὸν σίρωστ τὸ ἀλγοῦν. πληθυέσθω δὲ

ἡ κεφαλὴ μετὰ ἀφεψήματος χαμαιμήλων.

ἀνήθου· σαμψύχου. καὶ μελιλώτου ὀξεῖν ἐκ-

λὶλ ἐμμίλικ. γινέσθω δὲ ἡ ῥοίσις τοῦ

ἀποζέματος ἐπὶ τῆς κεφαλῆς διὰ καλάμου.

ἵνα κατὰ βραχὺ εἰσέλθῃ ἡ δύναμις τοῦ

ἀποζέματος, ἐπὶ τῆς κεφαλῆς. ἀρκετοί-

ναι τὰ παρ' ἡμῶν λεχθέντα εἰς τὴν τοῦ νοσή-

ματος θεραπείαν. εἴπον δὲ κατὰ τὰ πρω-

γραφέντα φάρμακα. διῶν οἱ ἰατροί, ἐθεράπευον τὴν κάκωσιν τῆς κεφαλῆς ὧν περιεχόμεθα :

ιβ

κεφ. ιβ. περὶ νόσου τῆς καλουμένης κρανίας :

Συμβαίνει ἐν τῷ κρανίῳ πόνος. ἰσχυρὸς. βαρερός. δυσθεράπευτος. καὶ αἰσθάνεται ὁ πάσχων ὅτι τύπτεται ἡ κεφαλὴ αὐτοῦ μετὰ σφαίρας καὶ οὐ δύναται ἀκούειν φωνὴν σφοδροτάτην. οὔτε κροῦσμα. οὔτε βλέπει εἰς φῶς. ταῦτα δὲ γίνονται ἀπὸ ὀξύτητος ξανθῆς χολῆς. ἢ πνῶν παχέων. ὅταν ἐπιτύχῃ ἀσθενῆ κεφαλήν. ὅταν οὖν συμβαίνῃ ἡ κάκωσις ἀπὸ ξανθῆς χολῆς αἰσθάνεται ὁ νόσων κρούσματος ἰσχυροῦ μετὰ ἐξαίψεως καὶ ἰσχυρᾶς θερμότητος. εἰ δὲ συμβῇ ἀπὸ παχέων πνῶν, αἰσθα-

νεται βάρους καὶ θερμοῦ ἐν τῇ κεφαλῇ.
θεραπεύομεν δὲ τὸν ἀπὸ ξανθῆς χολῆς
ἀρρωστοῦντα, διὰ φαρμάκων· ἐξιόντων
τὴν ξανθὴν χολήν· μαλαττόντων τε καὶ ἐκ-
πλυνόντων τὴν ξανθὴν χολήν· καὶ τὴν ταύ-
της ὀξύτητα. ἀντλοῦμεν δὲ μετὰ ἀφεψή-
ματος ἴων· φακῆς τῆς ἐπὶ τῶν τελμάτων·
φύλλα ψυλλίου· φλοιοῦ κωδίας. κριθῆς
κεκαθαρμένης καὶ τῶν ὁμοίων. γινέσθω
δὲ πταρμικόν, δι' ἐλαίου καὶ ῥοδελαίου.
ἢ τῆς νυμφαίας. ἢ τῆς ἰτέας. εἰ δὲ ἡ σφο-
δρότης τῆς ὀδύνης ποιεῖ ἀγρυπνίαν, πτα-
ρέτω δι' ἐλαίου ἢ τῆς νυμφαίας, καὶ τοῦ
ἀποζέματος τοῦ ὑοσκυάμου, ἢ τῆς θρει-
δακίνης. γινέσθω δὲ ἔμπλαστρον διὰ
τῶν δύο σανταλῶν συντετριμμένων μετὰ ῥο-
δοστάγματος· καὶ καταβρεχέτω τὴν κεφαλήν

αὐτοῦ μετὰ ῥοδελαίου καὶ τοῦ ἀποζέματος τῆς ἀνδράχνης· καὶ τῶν ὁμοίων· ξυφήτω δὲ ἀξύφαξιν· κολοκύνθην· ἀνδράχνην· εἰ δὲ ἐστὶν ἡ ὀδύνη ἐκ πνεύματος παχέος, καταρχὰς μὲν ποιοῦμεν ταῖς ἀντιδότοις· ὡς τὴν θεοδωρήτου· ἢ τοῦ γαληνοῦ· ἢ τοῦ ῥόδου· προστάσσοντες αὐτὸν συχνάκις χρῆσθαι ἐνώρα ὕπνου ς γ´ α´ ἀπὸ τῆς τοῦ ἀρχιγένους ἱερᾶς· ἢ τῆς πικρᾶς ἱερᾶς ἢ τοῦ γαληνοῦ· πινέτω δὲ τὸ ἔλαιον τῆς πενταδακτύλου, μετὰ τοῦ ἀποζέματος τῆς ἀλόης· ἢ πέτω τοὺς κόκκους τοῦ κουκαίη· ῥαινέτω δὲ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ἔλαιον χαμαιμήλου· σαμψύχου· ἐλίκ. ἐλμελικ. καὶ τοῦ βαλσάμου· καταπλασθήτω δὲ ἡ κεφαλὴ αὐτοῦ μετὰ καταπλάσματος γινομένου μετὰ σμύρνης· ἀλόης· κηροῦ·

κυμινδίου, καὶ τῶν ὁμοίων. ἀναγαργαριζέ-
σθω δὲ διὰ τῆς ἱερᾶς πικρᾶς μέλιτος καὶ
θερμοῦ ὕδατος. πταρέσθω δὲ διὰ μοσχε-
λαίου, ἢ ἀνηθίνου, ἢ χαμαιμηλίνου· ἢ ναρδίνου.
συχνάκις δὲ λούεσθαι. ἀπεχέσθω δὲ τῶν
βρωμάτων, τῶν γεννώντων παχέα. περιτ-
τώματα καὶ πνεύματα. ὡς κράμβη, γογ-
γύλη καὶ τὰ ὅμοια. ἐμβαλλέσθω δ' εἰς τὴν
τροφὴν αὐτοῦ, κύμινον. καὶ ἄνισον καὶ ἀρώ-
ματα. πινέτω δὲ ὑδρόμελι, τὸ κατασκευα-
ζόμενον μετὰ τῶν ἀρωμάτων. ἢ τὸ κονδῖτον
πινέτω. ὠφελεῖ γὰρ ἐν τῷ [illegible] πάντα τὰ
θερμὰ ἀρώματα :-

ἡ ιγ΄ πύλη· περὶ φαντασμοῦ καὶ
σκοτασμοῦ:-

Φαντασμός ἐστιν, ὅτι ἰνδάλλεται τῷ πεπονθότι ιγ
αὐτῷ πάντα τὰ ὁρώμενα περιστρεφόμενα

κύκλῳ αὐτοῦ. ἀποτυγχάνει δὲ τῆς ὁράσεως
ἄφνω. ὥστε ὑπολαμβάνειν πάντα τὰ θεωρού-
μενα σκοτεινά. γίνεται δὲ ὑπὸ πλήθους
χυμῶν καὶ μίξεως πνευμάτων. στρεφομένων
ἰδίως τῇ χειρὶ ἢ ὑπὸ θερμῶν ἀτμῶν, ἀνερ-
χομένων ἐν τῇ κεφαλῇ ἐκείνων μερῶν. οἷον
στομάχου ἢ ἥπατος, καὶ τῶν ὁμοίων. ἐπειδὴ
γὰρ κατέρχεται ἐν τῷ σώματι τοῦ στομάχου
νεῦρον, ἀπὸ τοῦ ἐγκεφάλου μέγιστον, ὅταν
πάθῃ τινὰ βλάβην τὸ τοιοῦτον νεῦρον, ὡς
ἀπὸ στομάχου βλαβέν. εἰκότως βλάπ-
τονται αἱ ψυχικαὶ ἐνέργειαι. οἷον τὸ μνη-
μονευτικὸν καὶ τὰ λοιπά. εἰ δὲ ἐστὶν ἡ νό-
σος ἐν τῷ ἐγκεφάλῳ, περὶ τοῦ πάθους αὐτοῦ
αἰσθάνεται ὁ νοσῶν βάρους ἐν τῇ κεφαλῇ, καὶ
βόμβου ἐν τοῖς ὠσὶν ἔχει τε ἀοσφρησίαν καὶ
σκοτασμὸν συνεχῆ καὶ ἄπαυστον. εἰ δὲ ἐστὶν

ἡ νόσος ἐν τῷ ἐγκεφάλῳ κατὰ συμπάθειαν
στομάχου. πρὸ τοῦ, πάθους αἰσθάνεται ὁ πά-
σχων ἀνατροπῆς. ἕως ἐμέτου καὶ ὀδύνης ἐν
τῷ στομάχῳ. συμβαίνει δὲ αὐτῷ σκότωσις
οὐ συχνῶς ἀλλ᾽ ὅταν ὁ ἀλμὸς κινηθῇ. εἰ δὲ ἔ-
στιν ὁ σκοτασμὸς ἀπὸ τοῦ ἐγκεφάλου, ἰδίως
πρὸς [illegible] τέμνειν κρανιακήν. καὶ ποιεῖν
τὴν τοῦ αἵματος τέμνειν κρανιακήν. καὶ ποιεῖν
τὴν τοῦ αἵματος ἀφαίρεσιν κατὰ δύναμιν. εἰ
δ᾽ ἔστι τι τὸ κωλῦον τὴν φλεβοτομίαν, οἷον ἀ-
δυναμία. ὑπερβάλλουσα. ἢ ψύξις ἀέρος
ἢ ἡλικία, ἀρκούμεθα χρῆσθαι τῇ πικρᾷ
ἱερᾷ, ἥτις τὰ δύο μέρη ἐστὶν ἀλόη. καὶ τὸ τρί-
τον ἀρώματα. πινέτω τοὺς κόκκους τῆς μα-
στίχης καὶ τῆς ἀλόης. ἢ τὰ προλεχθέντα βοη-
θήματα. ὅσα καθαίρουσι κεφαλήν. ὡς τὴν
ἱερὰν τοῦ γαληνοῦ. τοῦ δαμασκηνοῦ τοὺς στο-

μαλακοῖς κόκκοις. ἀντλείσθωσαν δ' οἱ πόδες,
δι' ὕδατος θερμοῦ. ἀπεχέσθω δὲ οἴνου.
κράμβης. φακῆς. μελιτζανίων. τυροῦ. ἐσθι-
έτω δὲ τροφὰς εἰς εὔπεψιν εὐχύμους.
εἰ δ' ἔστιν ἡ νόσος ἐκ κοινωνίας τοῦ στομάχου,
πινέτω τὸ ἕψημα τῆς ἀψινθίας. ἢ τοῦ ἀ-
γαρικοῦ. καὶ τὴν ἱερὰν πάλιν πικράν. ἐ-
πειδὴ καθαίρει τὸν στόμαχον. καὶ λεπτύνει
τὰ ἐγκαθήμενα ἐν αὐτῷ. ἐμείτω δὲ συχνά-
κις. καὶ ἀπεχέσθω τῶν βρωμάτων γεννών-
των τὰ πνεύματα ἐν τῷ στομάχῳ :-

Κε ιδ΄ πυ: περὶ ληθάργου:

ιδ΄

Ἡ καλλίστη μάθησις καὶ τὸ, ἐξ ἀρχῆς μνημο-
νεύειν τῶν πραγμάτων τῶν ὄντων ἐν τῇ ψυ-
χῇ, τεκμαίρουσιν ὅτι ἡ οὐσία τοῦ μέρους
τούτου ὄπισθεν τοῦ ἐγκεφάλου ὅπερ καλοῦσιν
οἱ ἰατροὶ μνημονευτικόν, ἔχει οὐσίαν σταθ-

ρὰν καὶ συμμετρίαν. εἰ ἔστι δὲ ἡ οὐσία
τοῦ μνημονευτικοῦ ῥευστή, ἢ ὡς χαύνη ἢ ὑ-
γρὰ μὴ ἔχουσα στερρότητα, γίνεται ὁ τοιοῦτος
τῆς ἀσθενείας σὺν ζόφος πολυλήθαργος.
δυσνόητος. βραδὺς ἄκακος. εἰ δὲ ἔφυ ἐν
τούτῳ τῷ ὄπισθεν τοῦ ἐγκεφάλου περίττω-
μα φλέγματος. συμβαίνει τῷ πάσχοντι, λή-
θαργος σφοδρός, ὡς μὴ δ' ὅλως μνημονεύειν
τὰ λεγόμενα. πληθύνει δ' αὐτῷ καὶ ἡ χασμω-
δία. καὶ τὸ στόμα ἐπὶ πολὺ κατέχειν ἀνεω-
γμένον. ὥσπερ ἐπιλανθανόμενος τοῦ, κλεῖ-
σαι αὐτό. καὶ τοῦτο συμβαίνει ὑπὸ τῆς ψύξεως
τοῦ φλέγματος καὶ τῆς πλεοναζούσης ὑγρα-
σίας ἐν τῷ ἐγκεφάλῳ. πνίγεται γὰρ ὑπὸ τούτου
τὸ ψυχικὸν πνεῦμα. καὶ τοῦτό ἐστι λήθαρ-
γος. καλεῖ δὲ αὐτὴν ὁ Γαληνός, ψυχρὰν φρε-
νίτιν. τὸ πλεῖστον δὲ συμβαίνει τοῖς γέρου-

σιν. ὅντε ταῖς ψυχροτάταις χώραις καί

ὑγροτάταις. θεραπεύοντος δέ, ποιοῦμεν

τά καθαίροντα τήν κεφαλήν ἀπό τῶν ψυ-

χρῶν περιττωμάτων καί παχέων. ὡς τήν

θεοδώρητον. Καί τούς στομαχικούς κόκκους.

τοῦ κουκαίε καί τά ὅμοια προστάττοντος

αὐτόν συχνάκις ποιεῖν τό δέ τό φάρμακον.

πεπειράμεθα γάρ καί ηὐχαριστήσαμεν:-

στήλη κόκκων, ἰσαάκ τοῦ ἐμβεσήν. ὠφε-

λοῦντες θυνοσ τούς ἐνεούς καί ἐπιληπσο-

μένας. Καί ὀδύνας κεφαλικάς. φυομέ-

νας ἀπό φλέγματος:-

Λαβών ἠπάλι ἀλόην ς ζ΄. ἀγαρικόν. σκαμ-

δα ἀνά ς β΄. κολοκυνθίδος ἐντεριώνης,

μαστίχην ξυλοκασίαν. στάχος. λεπτοκινά-

μωμον. καρυόφυλλον. σχοίνου ἄνθος. ℥℥ ἄ-

νισον ἀνά ς α΄. κόψας σήσας, φύρασον με-

τὰ χυλοῦ πηγάνου· καὶ ποίησον κόκκους· ἢ
πόσις ἐκ τούτων ϛ Γ β´· μετὰ θερμοῦ ὕδα-
τος· χρῶ δὲ ἐπὶ ἡμέραις ἱκαναῖς· μετὰ
δὲ τὸ, καθᾶραι τὴν κεφαλὴν διὰ τῶν πεττο-
μένων· ἀλειφέσθω τὸ ὄπισθεν τῆς κεφαλῆς αὐ-
τοῦ, θερμαῖς ἀλοιφαῖς· καὶ διαλυτικαῖς ὡς
τοῦ ναρδίνου· ἢ τοῦ ὀρχοκάστορος· ἢ τοῦ πυρέθρου·
ἢ τοῦ ἀγρίου σικύου ἢ τοῦ πενταφύλλου· ἢ
τὸ δαφνέλαιον· ἢ τὸ σάμψυχον· ἢ τῆς κολοκυνθί-
δος τῆς ἐντεριώνης· καταπλασσέσθω δὲ, καὶ
πυ κεκομμένον· εὐφόρβιον ἐζυμωμένον μεθ'
ὕδατος ἢ πηγάνου· ἢ καστορίου· ἢ τρίχας
ὄνου κεκαυμένας· ἐζυμωμένας μετὰ ὄξους·
ἢ καταπλασσέσθω τοπικῶς τοῦ ρβ´ κατα-
πλασμα:-

καταπλασις ὠφελοῦσα εἰς λήθαργον· κα-
θαῖρον τὸν νοῦν· ἔστι δὲ σύνθεσις τοῦ δαμα-
σκηνοῦ Ἰω(άννου) μοναχοῦ:-

Λαβὼν νάπυ. πύρεθρον. ἀγριοπήγανον. ἀνὰ
𐅻 γ΄. εὐφόρβιον. καστορίου ἀνὰ 𐅻 ε΄. κόψας σή-
σας, φύρασον μετὰ ὕδατος σαμψύχου. καὶ
χρίε ὄπισθεν τῆς κεφαλῆς πλειστάκις ὑπὲρ πε-
πτ[illegible]αι. πταρέτω δὲ διὰ τῆς σκευασίας
τῆς καλουμένης σείληθον, ἢ τοῦ χυλοῦ τοῦ
στρουθίου ἢ τοῦ κάστορος. ἀναγαργαριζέσθω,
διὰ νάπυος. ὀριγάνου, πυρέθρου. ἀγριοστα-
φίδος, γαλάγγου καὶ τῶν ὁμοίων. ἢ διὰ τῆς ἱερᾶς
πικρᾶς καὶ τοῦ ὀξυμέλιτος μετὰ θερμοῦ ὕ-
δατος. σπ[illegible] δὲ ἡ διὰ καρδίαν πινομένη
μεθ᾽ ἡμέραν ∠ α΄. μέχρι καὶ 𐅻 α΄. μετὰ
θερμοῦ ὕδατος. εἰ δὲ ποθῇ μοναταλον τὸ
ἀνακάρδιον κεράτου α΄, ἔτι δὲ γλυκὺ καὶ
θερμόν, ὀνίνησιν εἰς τὴν λήθην καὶ ἀμαθίαν,
καὶ ἀμνημοσύνην, τοῦτο δὲ πίνουσιν οἱ
ζητοῦντες μνημονεύειν τὴν μάθησιν. πλέον

δὲ πινόμενον, ξηραίνουτὸ μέγκεφαλον. πι-
νέτω δὲ καὶ τὴν διὰ γ´ πεπέρεων καὶ τὴν διὰ τοῦ
γαλάγγαλος. καὶ τὴν ἀντίδοτον τοῦ χούτζη. γαλάγγα
καὶ τὴν μεγάλην ζυφεράν καὶ τὰ ὅμοια. εἰ
δὲ παλαιωθῇ ἡ νόσος· πινέτω ὁ πάσχων καθ᾽
ἡμέραν κοχλιάριον α´ μετὰ θερμοῦ ὕδατος
πλειστάκις. καὶ ἀλειφέσθω αὐτό, ὄπισθεν
τῆς κεφαλῆς αὐτοῦ. πταρέτω δὲ μετὰ τοῦ [illegible]
καὶ μετὰ στρουθίου. ἢ τοῦ αἰθιοπικοῦ κυ-
μίνου. ἢ πεπέρεως καὶ τῶν ὁμοίων. μασσάσθω δὲ
λίβανον μετὰ πυρέθρου, ἢ μετὰ θρύμβου. ἢ με-
τὰ ἀγριοσταφίδος. ἢ μετὰ φλοιοῦ ἐλάτης
καππάρεως. πινέτω δὲ καὶ τὸ ὀξύμελι. ἢ τὸ κόν-
διτον. τὸ μετὰ τῶν ἀρωμάτων ἑψηθέν. κωλυέ-
σθω δὲ τοῦ, σικχαίνεσθαι. ἀπεχέσθω δὲ τῶν
προσφάτων ὀπωρῶν καὶ ὑγρῶν. καὶ τῶν
παχυτάτων τροφῶν. φασὶ γὰρ τῶν ἰατρῶν ἔνιοι,

ὅτι ἐλάβη τις ὀδόντα τοῦ δάπου· ἔστι δὲ
τοιοῦτος δάπος ὡς κύων, ἀγριόδους λύκος,
καὶ κρεμάσει τοῦτον τὸν ὀδόντα ἐπὶ τοῦ δεξιοῦ
βραχίονος, μεγάλως ὠφελεῖ τοὺς ἔχοντας λή-
θην καὶ ἀμνημοσύνην. ἰδίωμα γὰρ ἔστιν ἡ
τοιαύτη ἐνέργεια τοῦ ὀδόντος. διότι καὶ τὸν νοῦν
καθαίρει· τήν τε λήθην διώκει· ὁμοίως δὲ εἰ
λάβει τις τὸν ἀριστερὸν πόδα. ἢ τοῦ ἀριστεροῦ
ποδὸς τὸν ὄνυχα τοῦ τοιούτου δάπου καὶ
κρεμάσει τοῦτον ἐπὶ τοῦ βραχίονος, μεγά-
λως ὠφελεῖ εἰς τὰ τοιαῦτα νοσήματα:-

κεφ. ιε΄ πύλη: περὶ νόσου τῆς καλουμένης ἐγρηγόρσεως:-

ιε Εἴπερ συμβῇ εἰς τὸ ὀπίσθιον μέρος τοῦ ἐγ-
κεφάλου φλέγμα ξανθῆς χολῆς συγκεκρασ-
μένον, κεῖται ὁ πεπονθὼς ὕπτιος ὡς τεθνεώς,
τοὺς ὀφθαλμοὺς ἀνεῳγμένους ἔχων· ἐνεώς.

αἴτου δὲ βλάβη τὶς ἐν τῇ ἀναπνοῇ ἀπο-
σώζεται τούτου, οὔτε ἀγών. ἡ μὲν οὖν ἀ-
κινησία· καὶ ἠρεμία τοῦ πάσχοντος ἐστὶν
ἀπὸ τοῦ φλέγματος τοῦ ὑγροῦ καὶ ψυχροῦ.
ἡ δὲ ἐγρήγορσις καὶ ἡ στάσις τοῦ βλέμματος,
ἐστὶν ἀπὸ ξηρότητος τῆς ξανθῆς χολῆς· καὶ τῆς
ταύτης ὀξύτητος. φησὶν οὖν ὁ γαληνός· ὅτι ὁ σκο-
πὸς τῆς θεραπείας ἐστί· καθάραι τὴν κεφα-
λὴν ἐκ τῶν ἐναντίων χυμῶν, τῆς χολῆς φημὶ
καὶ τοῦ φλέγματος, ἔστωσαν δὲ τὰ πινόμενα·
ἀπὸ τῶν κενούντων ἤγουν τὸν πλεονάζοντα χυ-
μόν. εἴπερ οὖν ἡ ξανθὴ χολὴ πλεονάζει, πι-
νέτω τὰ ταύτην κενοῦντα. εἰ δὲ τὸ φλέγ-
μα, πινέτω τὰ κινοῦντα καὶ καταβιβά-
ζοντα τὸ φλέγμα. εἰ δὲ πλεονάζουσιν οἱ
χυμοὶ ἐξ ἴσου. ἔστω καὶ τὸ φάρμακον, κε-
νωτικὸν χολῆς καὶ φλέγματος. μετὰ δὲ τὴν

κάθαρσιν τοῦ ὀπαθοῦ μέρους τοῦ ἐγκε-
φάλου, λουέσθω μετὰ ἑψήματος χαμαι-
μήλου. ἀνήθ. ἐλελίσφ. ἑλμινθ. ἴσως με-
λίτου. σαμψύχου. ἴων. φύλλα ῥόδων. καὶ
τῶν ὁμοίων. χρισάσθω δὲ τὸ ὀπαθοῦν μέρος τῆς
κεφαλῆς. διαχριόμενος συντεθειμένου ἀ-
πό τε σμύρνης. ἀλόης. κρόκου. ῥόδων. σαν-
τάλου. χυλοῦ. γλαυκίου φυρωμένου μετὰ
λευκοῦ τοῦ ᾠοῦ. ἢ μετὰ ῥοδελαίου καὶ
ὄξους ἀπὸ οἴνου καὶ τῶν ὁμοίων. ἀλοιφὰς
δὲ θερμὰς ἀλειφέσθω καὶ λεπτυντικάς. ὡς
τὸ χαμαιμήλινον. τὸ νάρδινον. τὸ ἀνήθινον. τὸ κόστινον.
τὸ κρίνινον. τὸ μελάνθινον. καὶ τὰ ὅμοια. ἐνου-
σθωσαν δὲ μετὰ ἄλλων καὶ ἀπὸ τῶν ψυχρῶν
ἀλοιφῶν καὶ μαλασσόντων. ὥς τό, ῥοδέλαιον ἐ-
χαιον. τὸ νυμφαίας. κατὰ τὸν πλεονάζον-
τα χυμόν. εἰ μὲν οὖν ἐστι τὸ πλεονάζον ἡ

ξανθὴ χολή, ἔστωσαν πλείους καὶ αἱ ψυ-
χραί, ἀλοιφαὶ τῶν θερμῶν. εἰ δὲ τὸ φλέ-
γμα πλεονάζει· τὸ ἀνάπαλιν. ἔστω δέ σοι
ὁ τοιοῦτος κανών, εἰκόνισμα καὶ χαρακτὴρ
ἐπὶ πᾶσιν, οἷς θεραπεύεις ταύτην τὴν κάκω-
σιν. οἷον κλυστῆρες (σι). οἷον κλυστῆρσι βαλα-
νείοις ἐπιχεῖται ἡ γαστὴρ καθαρσίοις καὶ
τροφαῖς :— ἡ ιϛʹ πύλη. περὶ καταχθονισμοῦ :

Καταχθονισμός ἐστι κατάκλισις εἰς ὕπνον ιϛ
μετὰ μύσεως ὀφθαλμῶν. τοῦτο δ' ἐστὶ διχῶς.
τὸ μὲν ἕν, ὅτι κατέχει τὸν πάσχοντα ὕπνος
βαθύς. καὶ δυσκόλως εἰς ἐγρήγορσιν ἐξεγεί-
ρεται. τὸ δὲ ἕτερον, ὅτι ἐστὶν ὁ ὕπνος, οὐχ ὡς
ὕπνος ἀλλὰ ἀθυμία καὶ ὄκνος εἰς τὸ ἐγρη-
γορέναι. τὸ μὲν οὖν πρῶτον, διὰ ξηρῶν ὑπο-
θέσεων ἐστίν. ἢ ἀπὸ ὑγρότητος μόνον, καθὼς

ἐπὶ τῶν μεθυόντων συμβαίνει, ἢ ἀπὸ πλεο-
νασμοῦ φλέγματος ἐν τῷ βρέγματι· τουτέστιν τοῦ
ἐμπροσθίου μέρους τοῦ ἐγκεφάλου· ἢ ἀ-
πὸ τῆς τοῦ αἵματος ὑγρότητος, ἢ ἀπὸ πα-
γετοῦ καὶ ψύξεως· ὡς συμβαίνει τοῖς χιο-
νιζομένοις· ἢ ἀπὸ ψυχρότητος, καὶ ὑγρό-
τητος ἅμα· καὶ ἐπὶ τῶν ληθαργικῶν καὶ ἡμιπλή-
κτων καὶ ἀφώνων· τὸ δὲ δεύτερον γίνεται,
ἐκ καταπτώσεως καὶ ἀτονίας δυνάμεως·
διὰ τοῦτο ἐγρήγορσιν ἔχει καὶ οὐχ ὑπνοῖ παν-
τελῶς ὁ τοῦτο πάσχων· εἰ δὲ ἐστιν, ἀγρύπνῳ βρα-
χύτατος· ὅταν οὖν ἀποκλείῃ τοὺς ὀφθαλ-
μούς, ἀνοίγει σχεδὸν αὐτοὺς δι' ὀλίγης ἀ-
φορμῆς καὶ ἐγκατέχει ὥρας· καὶ οὐκ ἀ-
φίσταται· ἀγανθωρὸν πάλιν ἀποκλείει·
θεραπευόντων δὲ θεωρουμένων· καὶ εἰ μὲν
ἐστιν ὑγρότης ἐν τῷ ἐγκεφάλῳ, κενοῦμεν

τὸν πάσχοντα ἀντλεῖν τοὺς πόδας αὐτοῦ, καὶ
μεταπλεῖν εἰς ὕδωρ θερμὸν μετὰ ἅλατος.
εἶτ' ἐπεψήσας χαμαιμήλου ἐλελισφάκου καὶ ῥόδα με-
τὰ ὕδατος δεχέσθω τὸν ἀναδιδόμενον ἀτ-
μὸν ἐν τῇ κεφαλῇ. καὶ ἀντλείσθω τὸ βρέγ-
μα. φημὶ τὸ ἐμπρόσθιον μέρος τοῦ ἐγκε-
φάλου μετὰ τοῦ τοιούτου ἑψήματος. εἶτα
συγκεράσθω μετὰ ῥοδελαίου καὶ ὄξους.
καὶ ἐπιχριέσθω τὸ βρέγμα. εἰ δ' ὑπάρχει τὸ
πάθος ἀπὸ ψύξεως μόνης ὡς ἀπὸ χιόνος
καὶ παγετοῦ καὶ τοῖς ἴσοις, δεῖ θερμᾶναι
τὸ βρέγμα τῆς κεφαλῆς μετὰ ἑψήματος
χαμαιμήλου. καστορείου. ἐλελισφάκου. καλα-
μίνθης πηγάνου καὶ τῶν ὁμοίων. ἀλείφεσθαι
δὲ μοσχελαίῳ. ναρδελαίου ἢ τῶν δύο στακτῶν
καὶ τὰ ὅμοια. εἰ δὲ ἐστιν ἀπὸ ψύξεως ὁμοῦ
καὶ ὑγρότητος. πρὸς τοῦτο μὲν πειρᾶσθαι

καὶ κινεῖσθαι. καὶ πταρμὸν ποιεῖ διὰ στρουθίου·
ἢ ὀρχοκάστορος ἢ μυακανθίου. ἢ πεπέρεως· διὰ
τὸ θερμαίνεσθαι τὸν ἐγκέφαλον ὑπὸ τῆς κι-
νήσεως. ἢ πταρμικῷ, διὰ τῆς σεύτληθος μο-
σχελαίου, ἢ ναρδελαίου. ὀσφραινέσθω ἢ
ὄρχιν κάστορος· πήγανον ξηρόν· καπνιζέσθω
δὲ καπνίσματα ξηρά· σβεσθήτω δὲ καὶ ἡ
θρυαλλὶς παρὰ τῶν μυκτήρων αὐτοῦ. χάριν
τοῦ δέχεσθαι τὸν καπνόν· πινέτω δὲ ὑδρόμελι
ἀφεψηθὲν μετὰ τῶν ἀρωμάτων· πινέτω δὲ
καὶ ὀξύμελι· καὶ τὸ καταπότιον τῆς καλαμιν-
θης. ἰατρευθήτω δὲ, μεθ' ὧν ἰατρεύεται καὶ ὁ
λήθαργος· ὅ ἐστιν ἡ ψυχρὰ φρενῖτις. ἐπειδὴ
τὸ θεμέλιον ἀμφοτέρων, ἐξ ἑνὸς ὑπάρχει πε-
ριττώματος. ὅμως δὲ ἡ μὲν ἐξεπίτηδες
ποιεῖν τὴν θεραπείαν τοῦ ληθάργου. εἰς τὸ
ὀπίσθιον μέρος τῆς κεφαλῆς. τοῦ δὲ καλάμο-

νίστου

νισμοῦ, εἰς τὸ ἐμπεράθιον. εἰ δέ ἐστιν ὁ κατα-
χθονισμὸς ἀπὸ ἀδυναμίας καὶ τῆς ταύτης
καταπλώσεως, ἁρμόζει θεραπεύειν διὰ χα-
μαιμήλου. τῶν ῥόδων ἐπιθήματος. καὶ πλύ-
νειν μετὰ τούτων τὴν κεφαλήν. ὀσφραι-
νέσθω δὲ σανταλίου μετὰ ῥοδοσταγματος
καὶ ῥοδελαίου. πλησίον δὲ τοῦ ἀῤῥώστου, κρου-
έσθω λεκάνη, ἢ ἴγδιον. κρούσμα ὁμαλὸν
ἐντέχνως καὶ συχνῶς, ἄνευ δὲ ἤχους.
μηχανευέσθω δὲ διὰ τούτων ἐξυπνίζε-
σθαι. εἰ δὲ δέοιτο κρούσματος ὀκτα-
χόρδου, ἢ μουσικῶν, ἢ τινὸς τῶν κερασθέντων πού
ἄμεινον. ὅτι αἱ ψυχαὶ ῥέπουσιν ἐν τού-
τοις. καὶ ἰσχύουσι σφόδρα. καὶ ἡ φύσις ἐ-
ξαπλοῦται, διὰ τῆς ἁπλότητος καὶ ἰ-
σχύος:- κεφ. ιζ΄ πύλη. περὶ ἀγρυπνίας.

κεφ. Ἐγρήγορσις γίνεται διὰ δύο αἰτίας. ἡ ιζ

μὴν κατὰ φύσιν. Καὶ καλεῖται ἐγρήγορ-
σις. ἡ δὲ παρὰ φύσιν καὶ καλεῖται ἀγρυπνία·
αὕτη τοίνυν ἡ ἀγρυπνία ὑπάρχει ἀπὸ
τῆς πλείστης κινήσεως τοῦ ἐγκεφάλου διὰ τῶν
γινομένων ἐν αὐτῷ ξηρότητος χολῆς ξαν-
θῆς, ἢ μελαίνης. ἢ θερμότητος ἀσυμμέτρου,
ἢ ἁλμυροῦ ὑγροῦ καὶ γλίσχρου. καὶ εἰ
ἔστιν ἀπὸ ξηρότητος, ἕπεται αὐτῇ ταραχή.
καὶ ἔστιν ἡ χροιὰ τῶν πασχόντων, κιβῶδες.
διὰ τό, κινεῖσθαι τὴν χολὴν ἀπὸ τῆς ἀγρυ-
πνίας. καὶ εἰς τὴν ἐπιφάνειαν τοῦ σώμα-
τος δείκνυσθαι. εἰ δὲ ἔστιν ἡ ξηρότης
ἀπὸ μελαίνης χολῆς. γίνεται ἡ μορφὴ
τοῦ πάσχοντος μολυβδώδης. εἰ δ' ἔστι με-
τὰ ξηρότητος θερμότης τότε συμβαίνει μετὰ
τῆς ἀγρυπνίας, κλόνος καὶ φύρσις. καὶ
παραλαλεῖ φανταζόμενος ὁ πάσχων. εἰ

δὲ ἐστὶ ἡ ἀγρυπνία ἐξ ὑγρότητος ἀλμυ-
ρᾶς, ποτὲ δὲ ἀλλαχοῦ· μετὰ γαλήνης ἐνδοτὶ
τὸ βλέμμα. ἡ δὲ ἀγρυπνία ἐστὶ συνεχής, διό-
τι ξηραίνει τὰ ἀμβλύνοντα θεμελιῶν τοῦ σώ-
ματος, καὶ πολλάκις τὴν πέψιν ἀπαρτίζεται.
ὅταν δὲ ἀποπληθῇ ἡ τροφὴ γίνεται ὅλη. ἡ
τὸ πλέον αὐτῆς περίττωμα. Καὶ συμβαίνει
ὡς ἐκ τούτων, βάρος τῶν ὀμμάτων· οἴδημα
ὄψεως καὶ ὄγκωσις προσώπου. δεῖ δὲ ἡ-
μᾶς σπουδάζειν εἰς τὴν θεραπείαν τῆς ἀγρυπνί-
ας, διότι πολλάκις γίνεται ἡ ἀφορμὴ μεγίστη
ἀρρωστίας. εἰ μὲν οὖν ἐστὶν ἡ ἀγρυπνία
ἀπὸ ξανθῆς χολῆς καθὼς εἴπομεν, προσ-
τάττομεν, ἀντλεῖν τὴν κεφαλὴν μετὰ ἑψή-
ματος κώδυας· σπέρματος θριδακος· ἴων·
ἀλειφέσθω δὲ δι᾽ ἐλαίου κεκραμμένου μετὰ
χυλοῦ θριδακίνης. ἢ μεθ᾽ ὕδατος τῆς ἀν-

δράχνης. ἢ ὑοσκυαμίνου ἐλαίου μεθ' ὕ-
δατος τῆς ἀνδράχνης, ἢ μετὰ ἐλαίου νυμ-
φαίας καὶ γάλακτος θηλαζούσης θῆλυ. καὶ
βραχυτάτου σάκχαρος. χριέσθω δὲ καὶ τὸ
μέτωπον τοῦ πάσχοντος ὄπιον. σάκχαρ. σπέ-
ρμα θριδακίνης. ἢ κολοκύνθης. ἢ φύλλα
ψυλλίου. ἀλειφέσθω δὲ καὶ τὸ μέτωπον καὶ
τὰς μήνιγγας, ῥοδέλαιον μετὰ ὀπίου. ἢ ὑοσκυα-
μίνου ἐλαίου, ἀμελγέσθω δ' ἐπὶ τὴν κεφα-
λὴν αὐτοῦ, γάλα αἰθιοπίδος, θηλαζούσης θῆ-
λυ. καὶ μετὰ τοῦτο, ἀλειφέσθω διά τινων
τοιούτων ἀλοιφῶν. φησὶ δὲ ὁ διοσκουρίδης.
ὅτι ἐὰν γένηται ἀπὸ τὸ ὄπιον φωτύλιν καὶ
τεθῇ ὑποκάτω, ἐπάγει ὕπνον σύμμετρον. πι-
νέτω δὲ ὁ ἀσθενής, τὰ ψύχοντα τὴν πύρωσιν
τῆς ξανθῆς χολῆς, καὶ καταπραΰνοντα τὴν
ταύτης ὀξύτητα. εἰσὶ δέ, σπέρμα θρίδακος.

κωδύας· ὑοσκυάμου· εἰ δὲ ἐστιν ἡ ἀγρυπνία
ἀπὸ ξηρότητος μελαίνης χολῆς· προβρεχο-
μένη χέειν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀπόζεμα
χαμαιμήλων· ἐλαία· ἀνήθου, φλοιοῦ κωδύας·
σπέρματος μαλάχης, καὶ τῶν ὁμοίων· ἀμελ-
γέσθω δὲ ἐν τῷ μέσῳ τῆς κεφαλῆς μετὰ τό,
ξηρᾶναι ταύτην, γάλα γυναικὸς, ἢ γάλα ὄ-
νειον· ἢ προβάτειον πρόσφατον· πλαρέστω
μετὰ γάλακτος γυναικὸς καὶ κολοκυνθίνου
ἐλαίου. ἢ ἐλαίου τοῦ ἐφημέρου· ἔστι δὲ τὸ ἐ-
φήμερος, ἄνθος ὡς ἴον· χροιὰν δὲ κύτεινον·
εἰ δὲ ἐστιν ἡ ἀγρυπνία ἐξ ὑγρότητος ἀλμυ-
ρᾶς, πλαρέστω μετὰ ῥοδελαίου· ἢ ἀνηθελαίου·
ἢ χαμαιμηλίνου· πλύνοντες καὶ τὴν κεφα-
λὴν αὐτοῦ μετὰ ἑψήματος χαμαιμήλου, σαμ-
ψύχου, ἀνήθου· εἰ δ' ὑπάρχει ἡ ἀγρυπνία
ἀπὸ βρωμάτων θερμῶν, ἢ φαρμάκων ὀξυ-

τάλων. θεραπευθήτω διὰ τῶν προειρημένων

καθὼς ἡ ἑρπὴ τῆς κρᾶσις ἀπαιτεῖ:-

στῆλη ὑπνωτικὴ ἣν διέθετο ἰσαὰκ ὅλου

ἐμβροχή· ὕπνοι δὲ διὰ τῆς ὀσφρήσεως:

λαβὼν ὄπιον· καστόρ(ιον)· κώνειον· ὑοσκύαμον·

ἐλλέβορον μέλανα· σπέρμα κωδύας· σπέρ-

μα μανδραγόρας ὀξ(ύ)ίσου· κόψας σή-

σας, ζύμωσον μετὰ μανδραγόρας χυλοῦ· καὶ

ἔλαιον ἐπάνω τῶν, ἔλαιον τῶν λευκοΐων·

καὶ βαλὼν εἰς ἀγγεῖον ὑάλινον, ἔασον ἡμέ(ρας)

γ΄, εἰς τὸν ἥλιον. εἶτα διϋλίσας μετὰ πα-

νίου, λαβὼν ὄπιον μέρος ἕν· ἢ ὅσον ἡ

χρεία ἀπαιτεῖ, θὲς ἐπὶ τὸ ἔλαιον τὸ διυλι-

σθέν· καὶ ἡλιάσας ἄλλας ἡμέρας γ΄, μῖξον

τὸ ἔλαιον μετὰ τῶν εἰδῶν· καὶ θὲς ἐπάνω αὐτοῦ

ὄπιον πάλιν καὶ ἡλιάσας ἀμφότερα καθ'

ἡμέραν μέχρι πληρώσεως μηνός, κατάλιπε

εἰς τὸ ἀγγεῖον καθὼς ἔσται φυλάττεσθαι· ὅταν
δὲ ἡ χρεία, λαβὼν ἐκ τῆς ἀλοιφῆς μέρη β̄.
μοσχελαίου μέρος ᾱ· καρυόφυλλον μέ-
ρος ᾱ. θὲς αὐτὰ εἰς χούχλαν καὶ θερμάνας
ἐπάνω στάχτης θερμῆς, χρίεσθωσαν οἱ μή-
νιγγες καὶ οἱ μυκτῆρες. ὕπνον γὰρ ποιεῖ:-

Σκευασία ἐλαίου τοῦ ὀπίου σύνθεσις ἰωάννου τοῦ
δαμασκηνοῦ· ὠφελεῖ νοσοῦσι τοῖς μὴ
ὑπνώττοντας ἀρρώστους, καὶ εἰς κεφαλαλγίας
ἀπὸ ξανθῆς χολῆς· καὶ ἔστι θαυμαστά:-

Λαβὼν ὄπιον ϛΓ ι· σπέρμα θρίδακος.
ὑοσκυάμου μανδραγόρας· φλοιὸν κω-
δύων μηκώνων ἀνὰ ϛΓ ε· κόψας τὰ πάντα
κυκλὸς τοῦ ὀπίου, χέε ἐπάνω τὸν ἀπόζεμα,
χλωροῦ ὑοσκυάμου χοῦζαν μίαν, καί
βαλὼν εἰς κακάβιν, ἕψησον μετὰ μαλθακοῦ
πυρὸς ἐπάνω ἔλδρου ἔχοντος ὕδωρ θερμόν,

μέχρι ὅτου ἐκλείψη ἐκ τοῦ ἀποζέματος
τοῦ ὑοσκυάμου πολύ. ἔπειτα πρόσθες
λρ σπέρματος μελανθίου. καὶ ἕψησον ἕως ἂν δα-
πανηθῇ τὸ ὕδωρ. καὶ ἀπόμαξον τὸ ἔλαιον.
καὶ τρίψας καλῶς τὸ ὄπιον, ἕνωσον. καὶ
συμμίξας εἰς βικίον ὑέλινον ἀπόθες. ἐπὶ
δὲ τῆς χρείας, ἐπάλειφε τὸ μέτωπον τοῦ νοσοῦν-
τος. χρὴ γὰρ ὕπνον ἐμποιεῖν:-

ἁπλῆ ἑτέρα σύνθεσις ὑπνωτική:-

λαβὼν ὄπιον. ὑοσκύαμον μανδραγόρου σπέρ-
μα ἀνὰ μέρος α΄. κόψας καὶ ζυμώσας μεθ᾽
ὕδατος. καταλεῖπε ἐν ἡλίῳ ἡμέρας ε΄. εἶτα
βάπτων βαμβάκιν, χρίε τὸ μέτωπον καὶ
μέσον τῶν ὀφθαλμῶν. ὑπνοῖ γάρ:-

στῆ ἀρχιόπων. οἷς συντέθειται ἰατρικ. ὑπνοδοτεῖ
τὸν νοσοῦντα, ὅταν περιέχηται ὑπὸ ἀγρυ-
πνίας σφοδρᾶς. καὶ πυρετοῦ θερμότητος:-

Λαβὼν ὑοσκυάμου σπέρμα. θριδακίνης. κωδύων λευκῶν ἀνὰ ∠ ε΄ ἀμυγδ(άλων) σπέρμα κεκαθαρισμένον. Καὶ ἂν θέλῃς ἀνὰ οὐ(γγίας) β΄ ς΄΄ ὄπιον. κρόκον ἀνὰ ∠ α΄. κόψας σήσας. ζύμωσον μετὰ χυλοῦ θριδακίνης. ἢ μετὰ ἀφεψήματος κωδύας. καὶ ποίησον τροχίσκους, ἀνὰ κερατίου ἑνός. πινέτω δὲ τροχίσκον α΄ μετὰ σάκχαρος. ἢ μετὰ καλαπολίου ἰωνίων ἐν ὥρᾳ δείπνου. λαμβάνεται δὲ ἐξ αὐτῶν τροχίσκος εἷς τριβόμενος μετὰ γ α΄ κελθαλνέρου. δεόμενος μετὰ ὕδατος θριδακίνης. ἢ μετὰ γάλακτος γυναικὸς θηλαζούσης θῆλυ. καὶ γίνεται καλὸν πλάσμα ἐν τῷ μετώπῳ· καὶ παύει τὴν κεφαλαλγίαν καὶ ποιεῖ ὕπνον. –

ιζ΄ τιτ(λος) πύλη. περὶ φρενίτιδος. –

ιζ΄ Φρενῖτις καθολικῶς εἰπεῖν, ἐστὶν οἴδημα — τιτ

θερμόν. συμβαίνον ἔν τινι τῶν ὑμένων τοῦ

ἐγκεφάλου. παρακολουθεῖ δέ, συνεχὴς ἀ-

γρυπνία καὶ παραφροσύνη. πολλάκις

δὲ γίνεται τὸ οἴδημα. εἰς τὴν οὐσίαν τοῦ

ἐγκεφάλου. ἕως εἰς τὸν μυελόν. καὶ

ἐστὶ χαλεπὸν καὶ μέγιστον σύμπτωμα.

γίνεται δὲ διὰ β αἰτίας. ἡ πρώτη μὲν,

ἐκπυρώσεως τῆς ξανθῆς χολῆς, καὶ τῆς ταύ-

της ἐξαίφνως εἰς τὴν περιφέρειαν τοῦ

ἐγκεφάλου. λέγεται δὲ καὶ εἰς τὸν θύλα-

κα τοῦ ἐγκεφάλου. ἡ δὲ δευτέρα ἀπὸ

τῆς ἀναβράσεως τοῦ αἵματος τῆς καρδίας.

διότι τὸ αἷμα τῆς καρδίας ὅταν ἐκπυ-

ρωθῇ καὶ ἀναβράσῃ ἐκ θερμότητος τῆς

ξανθῆς χολῆς καὶ ἀνέλθῃ ἡ πυρρά αὐτῆς

εἰς τὴν κεφαλήν. συμβαίνει ἐκ τούτου, οἴ-

δημα ὀξύτατον ἐν τῷ ἐγκεφάλῳ. λέγω

δή, φύσημα, ὄγκωμα. παρέπεται δὲ αὐ-
τῷ ἀγρυπνία. ὀδύνη. λογοφαντασία. πα-
ραφροσύνη. συμβαίνει δὲ εἰς τὴν ἀνάβασιν
τῆς νόσου. καὶ πλησίον τῆς ἀνόδου αὐτῆς συμ-
πτώματα χαλεπὰ φοβερά. ὡς δῆτα ἀφό-
ρητος. ξηρότης στόματος. ξηρότης γλώτ-
της. καὶ μελανία. κλόνος. καρδιωγμός. σκο-
τασμός. λειποθυμία. ὅπως μεταβολὴ
εἰς τὸ παρὰ φύσιν πολέμιον εἰς ἐρυθρότητα,
εἴπερ ἐστὶν ἡ αἰτία ἐξ ἀναβρώσεως τοῦ αἵμα-
τος τῆς καρδίας. καὶ τῆς ταύτης πυρώσεως.
ἢ εἰς ὠχρότητα, ἢ κυανότητα. εἴπερ ἐστὶν
ἡ αἰτία τῆς νόσου, ἔξαψις τῆς ξανθῆς χολῆς,
εἰς τὸν θύλακα τοῦ ἐγκεφάλου. καὶ τὸ πλεῖ-
στον συμβαίνει ἡ φρενίτης. εἰς αὐτὸν κοπι-
ῶντα κόπον σφοδρόν. καὶ ἀτονοῦντα
ὑπερβαλλόντως. ἔχοντα καὶ κρᾶσιν θερμήν

καὶ ξηρεῖν. μάλιστα δέ, εἰ ἔστι καὶ ὥρα
θέρους. καὶ ἡ μὲν φρενίτις ἡ παρεπομένη
νόσῳ παραγεγενημένη ὡς ἡ συμβαίνει ἀπὸ
οἰδήματος τοῦ διαφράγματος τοῦ δια-
χωρίζοντος μεταξὺ τῆς ἀναπνοῆς, καὶ τῆς
τροφῆς, καὶ τῆς κακοπαθείας τοῦ στομάχου.
ἢ τῆς ὑστέρας διὰ τὸ ἔχειν τὸν ἐγκέφαλον
κοινωνίαν νεύρων ἐν τούτοις τοῖς μέρεσι.
κακοπαθεῖ διὰ τῆς τούτων κακοπαθείας.
ὅμως δὲ ῥωστεῖ, ὅταν ὑγιὲς γένηται τὸ μέ-
λος τὸ κοινωνῆσαν αὐτῷ. εἰς τὸ ἄλγος. καὶ
οἱ μὲν παραφρονοῦντες, ἐξ αἰτίας τοῦ ἐγ-
κεφάλου ἰδίως ἡ τούτων παραφροσύνη
αὔξει κατὰ μικρὸν καὶ πληθύνεται. παυο-
μένου δὲ τοῦ πυρετοῦ, ἠρεμεῖ. οὐ παντε-
λῶς δὲ τῆς ἀφροσύνης ἄνεσιν ἔχει. ἐπειδὴ
δὲ ἡ νόσος ὑπάρχει ἐν τῇ οὐσίᾳ τοῦ ἐγκε-

φάλου. διὰ τοῦτο ἐστὶν ἡ ἀναπνοὴ αὐτῶν
περικεκομμένη. ἡ δὲ παραφροσύνη ἡ συμ-
βαίνουσα ἐν τῇ ἀκμῇ τῶν ὀξέων πυρε-
τῶν, γίνεται ἀπὸ τῆς ἀναβάσεως τοῦ δα-
κνώδους ἀτμοῦ καὶ θερμοῦ. ὅτε δὲ παύε-
ται ὁ πυρετός, τότε παύει καὶ ἡ παραφρο-
σύνη καὶ ἡ κακοφαντασία. εἰ δὲ ὁ πυρετὸς
διαλυθῇ καὶ ἀπομένῃ ἡ παραφροσύνη. ἤ
τις ὑπάρχει οἴδημα θερμὸν συμβαῖνον ἐν
τῷ ἐγκεφάλῳ ἢ ἔν τινι τῶν ὑμένων αὐτοῦ.
καθὼς ὑπεδείξαμεν ἐν τοῖς ἔμπροσθεν. ὁ
δὲ γαληνὸς φησὶν ὅτι πᾶσαι αἱ παραφρο-
σύναι συνίστανται ἀπὸ τῶν ὀξυτάτων χυμῶν
καὶ δακνωδῶν. καὶ οὐχ ὑπάρχει ἐξ ἄλλων
αἰτία τίς. συμβαίνουσα ἀπὸ ψυχροῦ
χυμοῦ. εἰ μὴ αἱ παραφροσύναι αἱ οὖ-
σαι ἀπὸ μελαγχολικοῦ χυμοῦ. ἔστι δὲ

ἐν τρισὶν εἴδεσι. τὸ μὲν πρῶτον εἶδος, ὅ-
ταν κατὰ κράτος ἰσχύῃ ἐν τῇ οὐσίᾳ τοῦ ἐγ-
κεφάλου. τὸ δὲ δεύτερον, ὅταν ἐστὶν ἐν τῷ στομά-
χῳ καὶ ἐν τῷ πλήθει αὐτοῦ ἡ νόσος. οἷον ὑπο-
χονδριακοὺς καὶ φυσώδεις, ἥτις φυσοῦ-
ται ἀπὸ μελαίνης χολῆς. τὸ δὲ τρίτον εἶ-
δος. ὅταν ἀποδημεῖ ἀπὸ χειρῶν ἢ ποδῶν.
πολλάκις δὲ συμβαίνει ἡ μελαγχολία, διὰ
ψυχρότητα καὶ ξηρότητα, κατὰ τὴν ἐγκεφάλου
κρᾶσιν. ποτὲ μὲν ἐκτὸς ὕλης. ποτὲ δὲ καὶ
μετὰ ὕλης. αὕτη τοίνυν ἡ παραφροσύνη
ἡ συμβαίνουσα ἀπὸ μελαίνης χολῆς, ἔχει
λύπας καὶ φαντασίας κακάς, ἐπάγει καθὼς δὲ
ἐν τούτοις Ἱπποκράτης λέγει· ἢν φόβος
καὶ δυσθυμία πολὺν ἔχοντα χρόνον δια-
τελέσῃ. μελαγχολικὸν τὸ τοιοῦτον. εἰ δὲ συμ-
βῇ τῷ πεπονθότι λύπη καιρὸν ἐπὶ κλε-

μένον τεκμαίρεσθαι, ὅτι ἀπὸ μελαίνης χο-
λῆς ἐστὶ τὸ τοιοῦτον πάθος· παντὶ τοίνυν
τῷ λυπουμένῳ αὐτοῖ φανερᾶς ἀφορμῆς.
ἐρωτωμένῳ δὲ τὴν αἰτίαν τῆς λύπης· καὶ οὐ
δὲ μίαν ἔχοντι λέγειν, μελαγχολίαν εἶναι
τὸ πάθος λεγόμενον· πολλοὶ οὖν ἐξ αὐτῶν φο-
βοῦνται τὸν θάνατον· καὶ ἄλλα πολλά τινα
ἃ οὐδὲ φοβεῖσθαι· ἄλλοι δὲ ἐφίενται τοῦ θα-
νάτου· ὁ δὲ γαληνὸς ἐν τῷ περὶ νόσων φησὶν
ὡς οὐκ ἔστιν θαυμαστὸν ὅταν ἡ μέλαινα χο-
λὴ ἐγκεφαλῆς γίνεται τῶν θεμελίων τῆς λογι-
κῆς ψυχῆς, καὶ τῆς ταύτης ἀρχῆς· τοῦ συμ-
βαίνειν ἐκ τούτου φόβον καὶ λύπην καὶ ἐπι-
θυμίαν θανάτου· διότι φανερῶς εὑρίσκο-
μεν ὅτι οὐκ ἔστιν ἀπὸ τῶν ἐκτὸς τοῦ σώμα-
τος φοβεροῦνται πρὸς τὴν σκοτίαν, καὶ κατὰ
τοῦτο ὅταν περικαλύπτῃ τὸ λογικὸν μέρος

τῆς ψυχῆς καὶ σκεπάζουσα αὐτό, τὸ ὁμοιοῦν τῇ
σκοτίᾳ. ἀνάγκη ποιεῖν φόβον εἰς μακρὸν και-
ρόν. ἐπειδὴ βαστάζει τὸ αἴτιον ἐν τῷ σώματι
αὐτοῦ ἐνδελεχῶς. ὅπερ γὰρ συμβαίνει ἡμῖν
ὥραν πρὸς ὥραν ἀπὸ τῶν ἐκτός, ὅταν περι-
κυκλωθῇ ὁ ἀὴρ ἀπὸ τῆς βαθυτάτης σκοτίας.
τοῦτο συμβαίνει τοῖς μελαγχολικοῖς, ἀνερ-
χομένων μελαγχολικῶν ἀτμῶν. ἀπὸ τῶν
ἐντὸς ἐν τῷ ἐγκεφάλῳ. ἢ ἀφικνουμένης ἀνα-
θυμιάσεως ἐκ τῶν αὐτῆς ἀναθυμιάσεων. κα-
θὼς συμβαίνει ἐπὶ τοῦ πάθους τοῦ καλουμένου
ὑποχονδριακοῦ καὶ φυσώδους. διελθόντες
τοίνυν τὰς αἰτίας τῆς παραφροσύνης ἀρκούν-
τως, εἴπωμεν καὶ τὰς θεραπείας, κατὰ τὸν
κανόνα τῆς ἰατρικῆς. χρὴ τοίνυν τὸν παρα-
φρονοῦντα πρὸ τοῦ κυριευθῆναι ὑπὸ τοῦ
πάθους, αἵματος ἀφαίρεσιν ποιεῖσθαι

κατὰ δύναμιν εἰ μὴ τι κώλυμα ἔσται.
εἶτα κλυσοῦν δι' ἀποζέματος ὀξυφοινίκ(ων)·
δαμασκηνῶν· ἴων· κασσίας μελαίνης τῆς
περσίδος· μάννα καὶ τῶν ὁμοίων· πινέτω
δὲ καθ' ἑκάστην τὰ χαλῶντα καὶ μαλάττον-
τα καὶ καταπραΰνοντα τὴν θέρμην τῆς
ξανθῆς χολῆς· ὡς τοῦτο τὸ κατὰ τό· μάν-
να τῆς περσίδ(ος) τὰ σύνθετα ἀνὰ οὐγ(γίας) α. κα-
σίας μελαίνης τὸ ἔντος ∠ ε'. ταῦτα συνθεί-
βέτωσαν εἰς ὕδωρ ὅπου τῆς κολοκύνθης. ἢ
εἰς θερμὸν ὕδωρ. καὶ πινέτω νῆστις τὸ
διυλισθέν. ἑσπέρας δὲ πινέτω, τὸ ἀπόζεμα
τῶν ῥόδων μετὰ ζουλαπίου. ἢ σάκχαρος λε-
μωνάτου. ἢ ζίζιφα πεπλυμμένα. ἢ ἄρ-
τον πεπλυμμένον μετὰ ἀμυγδάλων κεκα-
θαρισμένων. καὶ σάκχαρ. συγκέρασον δὲ
τὸ τοιοῦτον ὕδωρ, μετὰ ἑψήματος ἴων. δα-

μασχήνων· ὀξυκράτου ἐγχέαντος. μετὰ δὲ ταῦτα

ἐγχεάτω ἐπὶ τῆς κεφαλῆς τοῦ νοσοῦντος, ἐλ-

δέλαιον κεκερασμένον μετ' ὄξους καὶ σταφυλῆς

ἐξ οἴνου· ἐπειδὴ τὸ ὄξος τέμνει καὶ ἀνοίγει

καὶ ἀραιοῖ τὸ δὲ ἐλαιδέλαιον, ψύχει καὶ κατα-

πραΰνει τὴν ὀξύτητα τοῦ ἄλμου. ἢ ἐγχεάτω

ἐπ' αὐτῆς ἐλδέλαιον, μετ' ὄξους σταφυλῆς ὀμ-

φακίτιδος. εἶπερ δὲ χρησόμεθα περισσοτέ-

ρας ψύξεως καὶ ὑγρότητος, ἐπαξόμενοι τῇ

κεφαλῇ, τὸ ὕδωρ τῆς ἀνδράχνης. ἢ τοῦ ἀει-

ζώου· ἢ τὰ φύλλα τῆς ἰτέας συνθλασθέντα

μετὰ τῆς ἀνδράχνης· ἢ τὸ ἀπόξυσμα τῆς

κολοκύνθης· ἢ φύλλα ἴων· ἢ φακοὺς τῆς

λίμνης· ἢ φύλλα ψυλλίου μετὰ ἰελαιοῦ

καὶ τὰ ὅμοια· καὶ εἰ μὲν ἡ ἀγρυπνία πε-

σεστιν, ἀλειφέτω τὸ μέτωπον, καὶ τοὺς μήνιγ-

γας· μετὰ ὕδατος τοῦ ψυλλίου· ἢ τῆς θει-

δαφνίνης· ἢ τῶν κωδίων· μετὰ ἐλαίου ἢ
τῆς νυμφαίας· καὶ οἰκονομείσθω καθὼς
εἴπομεν ἐν τῷ περὶ ἀγρυπνίας· πλαττέσθω
δὲ μετὰ γάλακτος αἰθιοπίας θηλαζούσης θή-
λυ μετὰ ἐλαίου· εἰ δὲ ἀκολουθῇ τούτῳ ξηρό-
της στόματος· ξηρότης γλώττης· κλυζέσθω
μετὰ χυλοῦ τοῦ ψυλλίου· σπέρματος τῶν κυ-
δωνίων· τῆς ἀλθαίας ὀλίγου σακχάρου καὶ
ἐλαίου· λαμβανέτω δὲ πανίον λινοῦν καὶ
ἑλίσσων ἐν τῷ δακτύλῳ, βάπτων εἰς τοὺς
χυλούς, μαλασσέτω τὴν γλῶτταν αὐτοῦ, ὥ-
ραν καθ' ὥραν· στρωθήτωσαν δὲ ἀπὸ τῶν
ψυχρῶν ἢ δυσπνόων· ἔνθα κεῖται ὁ ἄρρω-
στος· ὡς ἰτέας· ἔρδα· μυρσίνας· ῥαντιζό-
μενα μεθ' ὕδατος, ὥραν καθ' ὥραν· εἰ δ' ὁ
ἄρρωστος οὐκ ἐπιδέχεται πίνειν τὰ προειρη-
μένα ἤδη, τὰ καταψύχοντα τὴν θέρμην κ(αὶ)

καταβιβάζοντα τὴν ξανθὴν χολήν, ἐπέχεται
δὲ ἡ γαστὴρ αὐτοῦ ποιουμένη κλυστῆρα συν-
τεθειμένον ἐξ ἰῶν ζιβόλων. καὶ τῆς ἐκλελε-
πισμένης. σεύτλου. ζιζίφων. μυνοχόρδων.
πιτύρου πυροῦ. ἑψουμένων πάντων, λαβὼν
ἐκ τοῦ ἑψήματος λίτρας β΄. ἐπιθεὶς στα βε-
βερα. καὶ ἥμισυ οὐγγίαν ἐρόδου. ἢ σακχαμέ-
λαιον. καὶ οὐγγίας γ΄ ζάχαρος ἐρυθροῦ, τὸ
γινόμενον ἐκ τῶν γλυκοκαλάμων. αὐτὸ γὰρ
μετέχει ὑγρότητος περισσοτέρας. οὐ γάρ ἐστι
διυλισμένον καὶ κεκαθαρισμένον τελεία-
κις ὡς τὸ ζάχαρ. ἐπεὶ τὸ ζάχαρ καὶ αὐτό,
ἐξ ἑνὸς εἴδους γίνεται. καὶ τότε χρῶ διὰ κλυ-
στῆρος εὐθετῷ φίλον. ἡ δὲ θεραπεία τῶν με-
λαγχολικῶν τό, καθαίρειν τὸν ἐγκέφαλον σὺν
τῷ σώματι διὰ φαρμάκων. καθαιρόντων
τὴν οὐσίαν τοῦ σώματος τῆς μελαίνης χολῆς

ὡς ἡ ἱερὰ τοῦ λογαδίου καὶ ἡ τοῦ γαληνοῦ.

ἢ τὸ ἀφέψημα τοῦ ἐπιθύμου. ἢ τὸ διαε-

ρικοῦ. ἢ ἡ θεοδώρητος. καὶ τὰ ἄγαν τὰ

καθαίροντα τὴν μέλαιναν χολήν. ἐπ' εἰσὶ

τὰ ἐπιπλώματα τῆς νόσου φοβερὰ καὶ

χαλεπὰ καὶ δέος μήπως ἀπόλλυται, τό-

τε χρὴ ἐὰν τὴν κίνησιν τῆς κενώσεως μέχρι

καταπαύεσθαι καὶ ἠρεμεῖν. Καὶ πάλιν ἐν

τῇ πρώτῃ θεραπείᾳ τῇ προλεχθείσῃ τῆς κε-

νώσεως, μεταβησόμεθα διὰ τῶν φαρμάκων

τῶν προλεχθέντων ἀπεχόμενοι τῶν βρωμά-

των τῶν πονηρῶν. τῶν γεννώντων τὴν μέλαιναν — τοὺς μελαγχολικοὺς χυμούς.

χολήν. φησὶ δὲ ὁ γαληνός. ὅτι δεῖ θεωροῦντα ἐπὶ

πάσης νόσου διὰ ποίων ἐστὶν θεραπείας ἄρ-

ξασθαι μετὰ ἰσχυρῶν, ἢ ἀδυνάτων. εἰ οὖν

οὐκ ἔστιν ἡ νόσος ἐπίφοβος καὶ σφαλερά,

ἄρχεσθαι τῆς θεραπείας διὰ τῶν εὐκόλων

καὶ ἐλαφρῶν, καὶ ἀναβαίνειν αὖθις εἰς τὴν
ἰσχυροτέραν θεραπείαν. εἰ δ' ὑπάρχει ἡ νό-
σος ἐπίφοβος καὶ σφαλερά, θεραπεύεται
διὰ τῶν ἰσχυροτέρων· οὕτως ὁ θεσσαλὸς ἱπ-
ποκράτης ἐκήρυσσεν:—

ἡ ιθ πύλη. περὶ τοῦ πληρωμένου ἐξ οἴ-
νου καὶ μεθύοντος:-

ιθ

Χρὴ τὸν πίνοντα οἶνον, μὴ ἐκβαίνειν ἀπὸ τῆς
ἰσχύος αὐτοῦ τῆς ἰσότητος· τηρεῖν δὲ αὐτόν, τοῦ
μὴ ἔξω κοίτη εἰς μέθην· μήπως ἔσονται τὰ
πραττόμενα παρ' αὐτοῦ ἀνάρμοστα καὶ ἄχρη-
στα. χρὴ οὖν τὸν πίνοντα οἶνον, σκέπτεσθαι τὸ
σῶμα ἑαυτοῦ· καὶ ὅταν ἀπαγορεύσῃ ἡ γνώμη
αὐτοῦ καὶ ὁ διαλογισμὸς καὶ αἱ κινήσεις τοῦ
σώματος αὐτοῦ, καὶ ἡ ἰσχὺς αὐτοῦ, ἐγκρα-
τὴς γίνεσθαι τοῦ μὴ πίνειν καὶ ἐμπίπλασθαι
καὶ μεθύσκεσθαι· διότι ἡ μέθη γίνεται ἀπὸ

ἀτμῶν παχέων. ὁμοῦ τε καὶ ἀπέπτων.
ἀνερχομένων ἐν τῷ ἐγκεφάλῳ. πε-
ρικαλυπτομένων αὐτόν, καθὼς καλύπτει
ἡ νεφέλη, τὸν ἥλιον. καὶ διαχωρίζει ὁ τοι-
οῦτος ἀτμὸς μετὸν τῆς φρονήσεως. τουτέστι τοῦ
ἡγεμονικοῦ. καὶ τῶν ἀκλινοβολούντων δυ-
νάμεων τῆς ψυχῆς καὶ τῆς φύσεως. καὶ
χαυνοῦνται τὰ μέλη. καὶ ὅλα τὰ νεῦρα.
ἀδυνατοῦσι δὲ αἱ αἰσθήσεις, καὶ εἰς ὕπνον
τρέπονται. καὶ ὁ λογισμὸς ἀγνοιοῦται, ἡ ἡ
γνώμη ἀπόλλυται. τουτέστι τὸ προορα-
τικὸν τῆς ψυχῆς καὶ τῆς φύσεως. καὶ χρὴ
θεραπεύειν τὸν τοιοῦτον μετὰ τὸ θεωρεῖν εἰ δή ἐστι
θερμῆς κράσεως. καὶ ἐπιθεῖναι ἐπὶ τὴν κεφα-
λὴν αὐτοῦ ψυχρὰς ἀλοιφάς. ὡς τὸ ῥοδέ-
λαιον. ἢ ῥοδόσταγμα. ἢ ῥοδέλαιον κεκρα-
μένον μετὰ ὄξους ἐξ οἴνου. ἔπειτα δὲ τὸν

ἔσθων ὕδωρ μετὰ τό, ἢ θεῖναι ἐς αὐτὸ ψύλλιον
καὶ ἐκβαλεῖν τὸν χυλὸν αὐτοῦ. ἢ πινέτω ὀμ-
φακίνης σταφυλῆς ζουμπὶ μετὰ σάκχαρος.
ἢ τζουλέβιν, ἢ ὑδρόμηλι μετ' ὀξυσάκχαρου
ἐς ὕπνον, μέχρι ὅτου πεφθῇ ὁ παθὼν
οἶνος. εἶτα λουέσθω ἐς λουτρὸν σύμμετρον
εὔκρατον. ἔχον ὕδωρ γλυκύ. μαλαχθή-
τωσαν δὲ καὶ οἱ πόδες αὐτοῦ, δι' ἀλάτος
καὶ ἐλαδίου. ἵνα ἑλκύσῃ τὸν ἀναβαίνοντα ἀτ-
μὸν καὶ ἀναποδίσῃ κάτω. ὅστις δὲ νύττεται
παρὰ τοῦ οἴνου, ἐμείτω καὶ πινέτω ζουμπὶ
τῆς ἀψινθίας. καὶ ὕδωρ ψυχρόν. καὶ τὸ
ἀπόζεμα τῆς ἀψινθίας μετὰ ὑδρορόσατο.
εἰ δὲ συμβῇ τινὶ πόνος ἐν τῇ κεφαλῇ ἐν τῷ
στομάχῳ ἢ τῇ καρδίᾳ ἐξ οἴνου, ἐμείτω.
εἶτα πινέτω χυλὸν ψυλλίου μαλαχθέντος
ἐς ἐρδόσταγμα ἢ ἐς ὕδωρ ἀγγουρίου. ἀ-

πελαύσω

πεχέσθω δὲ συνουσίας καὶ πλησμονῆς
βρωμάτων. καὶ πρὸ τῆς πόσεως καὶ ἐν ἐσχά-
τοις ῥοφείσθω δ' ἀλεκρυόνας, μετὰ τοῦ ἀ-
ποπιεζομένου ὕδατος ἐκ τῆς ὀμφακίτι-
δος σταφυλῆς. μετὰ τῶν πρέμνων τῆς ἀν-
δράχνης. καὶ τοῦ ὀξάλδους τοῦ κίτρου. ῥο-
φείσθω δὲ πέρδικας. ἢ ζούρας. λαμβανέ-
τωσαν δὲ καὶ ὄξινα ῥόα. καὶ μέσπιλα
καὶ μῆλα. ἀποπιεζέτω δὲ καὶ τὰ κυδώ-
νια καὶ τὸ ὀξὺ τῶν κίτρων. καὶ τὰ ὅμοια.
εἰ δὲ ἔστι κρεῖσσον τυχεῖν ὁ μεθυσκόμενος.
χρὴ πίνειν ὀξύμελι. ἢ κυδωνοζούλαπον. χρῆ-
σθαι δὲ τῷ ὕπνῳ εἶτα εἰσιέναι ἐν βαλανείῳ.
μαλασσομένων τῶν ποδῶν αὐτοῦ, εἰς θερ-
μὸν ὕδωρ, μετ' ἐλαίου τοῦ ἐφ' ἡμέρου. ἢ
τοῦ ναρκίσσου. καὶ ἀλάτος. κρεῖττον δὲ ἐ-
στιν εἰς τό, ἐκκοπῆναι τὴν μέθην τῶν ὑγρῶν

στομάχων, τοῦ πιεῖν τὴν ἀψινθίαν. ἰδίωμα

γὰρ ἔχει διαλύειν τὴν μέθην ὅταν ποθῇ πρὸ

τῆς μεταλήψεως τοῦ οἴνου. ἢ τὴν ἡμέραν τῆς

μέθης, ὠφελεῖ ὠφέλειαν ἐμφανῆ. βρεχέσθω

δὲ μετὰ ἐπιμάλων δεχομένων ψωμόγαρον.

καὶ τῶν τηγανιζομένων. ἐσθιέτω δὲ κράμ-

βας μετὰ ἐνιαυσιαίου κρέατος. ἢ ἑφθὰς

κράμβας μετὰ γάρου καὶ ἐλαίου ὀμφακίνου.

ἔστω δὲ τὸ ὀμφάκινον ἔλαιον εἰς θερμότητα. ἰδίω-

μα γὰρ ἔχει ἡ κράμβη παλινῳδεῖν τοὺς ἀτμοὺς

τοῦ οἴνου. καὶ βαρεῖς ποιεῖν. καὶ κωλύει τοῦ

μὴ ἀναβιβάζεσθαι ἐν τῇ κεφαλῇ διὰ τα-

χους. συμφέρον δὲ καὶ εἰς τὸ ὑποφέρειν τὸν οἶ-

νον. καὶ διαλύειν τὴν μέθην. διὰ τὸ κωλύειν

τὸν ἐν τῷ στομάχῳ οἶνον, ἀνέρχεσθαι εἰς τὴν

κεφαλήν :- ἡ κ^η^ πύλη. περὶ ἔρωτος:

κ Ἔρως ἐστί, θερμὸς καὶ δυσκαθεκτος πόθος. ἐστί

δὲ νόσος γινομένη ἐν τῷ ἐγκεφάλῳ· ἡ δὲ ὑ-
περβολὴ τοῦ ἔρωτος, μετὰ φρενίτιδος καὶ
ἀγρυπνίας· διὰ τοῦτο καὶ μέγιστοι πόνοι
τῆς ψυχῆς ταῦτα εἰσίν. εἶπε δέ τις τῶν
φιλοσόφων· ὅτι ὠνόμασται ὁ ἔρως, ἀγά-
πης ἐπίτασις· πολλάκις δὲ γίνεται ἡ αἰ-
τία τοῦ ἔρωτος, ἐξ ἀναγκαίας χρείας τῆς
φύσεως· εἰς τὸ ἀπώσασθαι τὸ περιττὸν
ἐκ τοῦ σώματος· ὁ δὲ σοφώτατος ῥοῦφος
εἶπεν· ὅτι ἡ συνουσία ὀνίνησι τοὺς ὑπερ-
νικωμένους ὑπὸ χολῆς μελαίνης· ἢ ἀφρο-
σύνης· ἐπιστρέφει γὰρ πρὸς ἑαυτοὺς τὴν τού-
των φρόνησιν· καὶ διαλύει τὴν ἰσχὺν τοῦ
ἔρωτος· εἴποτε καὶ τὸν μὴ ἐρώμενον συ-
νουσία· μαλάσσει αὖθις καὶ τὴν τούτου
σκληρότητα· πολλάκις δὲ γίνεται ἔρως·
ὅταν ἡ ψυχὴ ὁρᾷ θέας εὐωδεστάτης· καὶ

χαρακτῆρος ἢ μορφῆς ὑπερφυεστάτης· διό-
τι, εἴωθός ἐστι τῇ ψυχῇ τοῦ τέρπεσθαι καὶ
θαυμάζειν ἐν παντὶ καλλίστῳ πράγματι·
οἷον μαργάροις· οἴκοις, ἢ τισὶν ὁμοίοις. εἰ
δὲ ἐστὶ τὸ τοιοῦτον κάλλος ἔν τινι πράγματι,
οἷον ἐν τῷ ἀνθρωπίνῳ γένει, φυσικῶς τότε κινεῖ-
ται ὁ ἔρως, ἐπιθυμοῦσα γὰρ καὶ σπεύδουσα
ἡ ψυχὴ πρὸς συνουσίαν καὶ πλησιασμὸν
ἐκείνου τοῦ πράγματος· συνέπεται δὲ τὰ
ἰσχυρότερα τῶν δηλωθέντων συμβαινόντων τῇ λογι-
κῇ ψυχῇ· ἤγουν φροντὶς καὶ ἀγρυπνία. καὶ
γίνονται οἱ ὀφθαλμοὶ αὐτῶν κοῖλοι καὶ τα-
χυκίνητοι, διὰ τὸ ταράττεσθαι τὴν ψυχὴν,
ὑπὸ λογισμοῦ, καὶ τῆς θέας τῆς ἐρωμένης·
ἐπιβαροῦνται δὲ καὶ τὰ βλέφαρα αὐτῶν·
αἱ δὲ χροιαὶ αὐτῶν ὠχραὶ διὰ τὴν κίνησιν
τῆς ξανθῆς χολῆς ἀπὸ τῆς ἐγρηγόρσεως· ὁ δὲ

σφυγμὸς αὐτῶν δυνατὸς, ἀνέχων αὐτὸ τὸ
τοῦ φυσικοῦ σφυγμοῦ ἢ ῥυθμόν τινά· αὐτὸς
ἔστι πεφορμένος· καταπονουμένη γὰρ ἡ ψυ-
χὴ ὑπὸ τῶν λογισμῶν φθείρεται. καὶ αἱ ψυ-
χικαὶ ἐνέργειαι καὶ παντὸς τοῦ σώματος
ἅμα. παρέπεται δὲ τὸ σῶμα τῇ ψυχῇ εἰς
τὰς ἐνεργείας αὐτῆς· ὁμοίως καὶ ἡ ψυχὴ
τῷ σώματι εἰς τὴν τούτου ἐντελέχειαν πῶς
πλήρωσιν. ὡσαύτως γὰρ [καὶ] ὁ γαληνὸς φησὶν
ὅτι αἱ ψυχικαὶ δυνάμεις παρέπονται τῇ
τοῦ σώματος κράσει. καὶ εἰ μὴ ἰάσηται ὁ
ὕδρως εἰς τὸ, περιποιηθῆναι αὐτὰ τὰ κω-
λύοντα τοῦ [ἴδια] λογισμοῦ αὐτοῦ καὶ ἡ δυνών-
τα τὴν ψυχὴν αὐτοῦ, περικόπτοντά τε τὴν
συνέχειαν τῆς διανοίας αὐτοῦ διὰ τῶν μετεωρι-
ζόντων, συντόμως ἐμπίπτει εἰς τὸ καλού-
μενον πάθος μελαγχολία. ἀμελῶν δὲ με-

τεωρισμὸς ἐστὶ τῶν συνεχομένων ὑπὸ ἐννοιῶν
καὶ ζητητικῶν διαλογισμῶν. οἰνοποσία μετ᾽
ῥαψῳδίας καὶ μουσουργίας. καὶ διηγήματα
φίλων. καὶ ἀκούσματα μήκους ἰαμβικοῦ.
καὶ ὁράσεις περιβόλων χλοερῶν. καὶ προ-
σώπων εὐθαλῶν. φησὶ γὰρ ὁ ῥοῦφος. ὅτι ὁ
οἶνος, φάρμακόν ἐστι μέγιστον τοῖς φοβουμέ-
νοις καὶ ὀρρωδοῦσι. εἶπε δὲ ὁ γαληνὸς ὡς ἐξαλ-
λουτικός. ὅτι ὁ τῆς σταφυλῆς χυλὸς, εὐφραί-
νει τὴν ψυχὴν τὴν θλιβερὰν καὶ λυπηράν,
καὶ χαροποιεῖ τὸν χρώμενον ταύτῃ. φησὶ
δὲ ἕτερος ἀνήρ, περιβόητος καὶ σοφώτατος.
ὥσπερ τὰ πικρὰ θέρμια ἑψόμενα, ἐν τῷ
ὕδατι γλυκύτατα γίνονται, οὕτω καὶ ἡ ψυ-
χὴ εὐφραινομένη ὑπὸ τοῦ οἴνου, ἀποδιώκει
τὴν λύπην. ποιοῦσι δὲ πάλιν τὰ τοιαῦτα καὶ
ἕτερα τινὰ ὡς τὰ ἄκρατα λουτρὰ καὶ θερμά.

εἰσερχόμενοι δὲ ἔνιοι τῶν ἀνθρώπων ἐν ἐπιμελέστῳ
βλέποντες. ἀλλ᾽ αὐτοὺς ἡ ψυχὴ ἐξαγωδεῖν καὶ
μελῳδεῖν· φασὶ δέ τινες τῶν φιλοσόφων ὅτι
ἡ μελῳδία ἐστὶν ὡς ἡ πνοή· ὁ δὲ οἶνος ὡς σῶμα·
ἑνουμένων δὲ τῶν τοιούτων, ἑνοῦνται καὶ τὰ
κάλλιστα προβλήματα· διηγεῖτο δὲ ἰσαὰκ
ὁ κλαύδης· ὅτι εἶπε τὶς ὀρφεὺς μουσουργός·
οἱ μὲν βασιλεῖς, ἀκούουσί με εἰς τὰς αὐλὰς καὶ
καθέδρας αὐτῶν, τοῦ, ἡδύνεσθαι ὑπ᾽ ἐμοῦ
καὶ μετεωρίζεσθαι· ἐγὼ δὲ μετεωρίζομαι
καὶ ἡδύνομαι. διότι δύναμαι ἀλλοιῶσαι
τὰ ἤθη αὐτῶν καὶ τὰς γνώμας· ἀπὸ τε θυμοῦ
εἰς ἱλαρότητα· καὶ ἀπὸ λύπης εἰς χαράν· ἀπὸ
συστολῆς εἰς ἁπλότητα· ἀπὸ στυγνότητος
εἰς εὐθυμίαν· τὸν φειδωλὸν ποιῶ εἶναι μεταδό-
τον, καὶ τὸν δειλὸν ἀνδρεῖον· ἐν τούτοις τελεσ-
τὰ ἡ πρᾶξις τῶν μεγιστάνων· ἡ δὲ οἰνοπο-

σία, εἰς τὸ ῥωννύειν τὰ λαμβάνοντα τὴν ψυχήν·
καὶ θεραπεύειν τὰ πάθη αὐτῆς. ἐν τούτῳ
δὲ τελειοῦται ὅπερ ἔφαμεν. εἴπερ καθεί-
δουσι μετὰ προσώπων εὐπροσδέκτων. τοῦτο
δὲ ὁ δημιουργὸς ἐντέχνως ἐρρύθμισε καὶ
κατεσκεύασεν εἰς τέλειον κάλλος καὶ ὡραιό-
τητα. δέχονται ἐν τούτοις ἡ ψυχή, τὴν αὐ-
τῆς φαιδρότητα καὶ λαμπρότητα. τό τε κάλ-
λος μετὰ ἠθῶν ἀρίστων καὶ ἐπιδεξιῶν καθα-
ρῶν καὶ ἀμολύντων. καὶ διὰ τοῦτο τινὲς ἐστὶν εἶπον.
ὅτι ἡ ἡδονὴ ἐστὶν οἰνοποσία, τὸ διαλέγεσθαι
καὶ τό, ὁμιλεῖν μετὰ εὐφυεστάτων καὶ φρο-
νίμων. ὁ δὲ γαληνὸς φησί. τό, ὁμιλεῖν τὸν
ἄνδρα μεθ᾽ ὧν ἐφίλει, ἐλαττοῖ τὸν πόνον τοῦ
κόπου ἀπὸ τῶν μόχθων αὐτοῦ. εἰ δὲ ζῶα
μετὰ τούτων περιβόλων χλοερὰ καὶ λειμῶνες,
ἔστι τελεώτατον. εἰ δ᾽ οὖν ἔξω εἰς αὐλάς

ἐστρωμένας μετὰ ῥόδων· μυρσίνων· κιτρο-
βαλσαμικῶν· μυρσινοφύλλων· ὠκίνων
ἡ θέα χαροποιεῖ τὴν θλιβερὰν καρδίαν.
ἀποτίθεται δὲ καὶ λύπην ἡ μέθη· χρῆσθαι
δὲ μετὰ τὴν οἰνοποσίαν, ὕπνῳ ἐγκαίρῳ, ἀ-
πολαυέτω δὲ τοῦ ὕδατος ῥέοντος γλυκεροῦ ὕ-
δωρ· καὶ ἀέρος εὐκράτου καὶ φωτεινοῦ· μὴ
πλησιαζέτω δὲ ὁ πάσχων, ὅντινα μισεῖ· ἀλ-
λὰ τοὺς τὴν ψυχὴν αὐτοῦ. ἐπυνθάνετο δὲ πα-
ρά τινος ἰατρὸς ὁ βαγδαΐτης ὁ τοῦ γαβειήλ·
τινὶ τότε που ὑπάρχει ὁ ἄνος ὅτι βαρὺς, βα-
ρύτερος τοῦ βαρυτάτου φορτίου· ἔφη· ὁ
ὅτι βαρὺς ἄνος, τὸ βάρος αὐτοῦ, ὅτι μόνῃ
τῇ ψυχῇ διάκειται. χωρὶς τινὸς τῶν αἰσθή-
σεων. τῷ δὲ βαρεῖ φορτίῳ συνεργοῦσι τὰ μέλη
καὶ αἱ αἰσθήσεις καὶ ἡ ψυχή, εἰς τὸ βαστάζειν
αὐτό· αὕτη ἐστὶν ἡ ὁδὸς τῆς θεραπείας τῶν ἐ-
ρώντων:~

κε κα΄ περὶ πταρμοῦ :-

κα΄

Πταρμὸς, γίνεται ἀπὸ τινῶν πνευμάτων παχέων.
φερομένων ἀπὸ κεφαλῆς πρὸς τοὺς μυ-
κτῆρας. καὶ ἦχον μέγα ποιούντων. συμ-
βαίνει δὲ ἐξ ἐναντίων ὑποθέσεων. πολλάκις μὲν
οὖν γίνεται ζωτικῶς ἀπὸ φύσεως τῆς οὔσης
ἐν τῷ σώματι τῶν ζώων. ὅταν αὕτη κινηθῇ
εἰς τὸ ἀπωθεῖσθαι χυμοὺς ἢ ἀτμοὺς σωρευ-
θέντας ἐν τῷ ἐγκεφάλῳ. κωλύουσα τοῦ μὴ
συμβαίνειν αἰτίας ἢ ὑποθέσεις ἀρρωστιῶν. τῶν
μὲν προαρχομένων. τῶν δὲ οὐσῶν ἑτοίμων.
ἐπειδὴ γὰρ ὁ ἐγκέφαλος τοῦ ἀνθρώπου ὑγρότερός ἐστι
παρὰ πάντων τῶν ζώων. διὰ τοῦτο περιττεύου-
σι πάντοτε ὑγρότητες ἐν αὐτῷ. ἀποδιώκον-
ται δὲ διὰ τοῦ πταρμοῦ. μήπως ἀδικήσωσιν
αὐτόν. καὶ πολλάκις μὲν γίνεται ὁ πταρμὸς, ὑπὸ ἐ-
ρεθισμοῦ τῆς φύσεως καὶ νόσου. κινούμενος

ἐκτὸς τῆς δεούσης ὥρας· ὡς ὁ γινόμενος
ἐν τῷ καταῤῥῷ· ἤγουν τῇ κορύζῃ ἢ τῇ πλευρί-
τιδι· ποτὲ δὲ ὑπὸ ἐρεθισμοῦ φυσικοῦ, χω-
ρὶς νόσου· ἐπειδὴ γὰρ ὁ πταρμὸς τῆς ῥινὸς
τοῦ ἀνθρώπου κολοβός ἐστιν· τάχιον ἀφικνοῦν-
ται ἐκ τούτου πτάρματα· βλαβερὰ ἀπὸ
τῶν ἐκτὸς ἐν τῷ ἐγκεφάλῳ· ὡς κονιορτός, ἢ
σφοδρὸν ψῦχος· ἢ καπνός, ἢ ἀτμός, καὶ
τὰ ὅμοια. ὅταν δὲ καταντήσῃ τὸ βλαβερὸν
πτάρμα ἐν τῷ ἐγκεφάλῳ διὰ τῆς συνεχοῦς
κινήσεως αὐτοῦ, ἐξάγει τὸ πνεῦμα καὶ τὴν
ὑγρότητα διὰ τοῦ πταρμοῦ· καὶ παύει τὰς
νόσους τὰς ἐπαγούσας βλάβας ἐν τῷ ἐγκε-
φάλῳ· τὰς ἀπὸ τῶν ἐκτὸς γινομένας καθὼς
εἴπομεν· εἰ δὲ συνεχὴς γίνεται ὁ πταρμὸς
καὶ μὴ παύηται· χρὴ λούειν τὴν κεφαλὴν με-
τὰ ἑψήματος χαμαιμήλων· ῥόδων· κριθῆς

κεκαθαρισμένης. βαλσάμου καὶ τῶν ὁμοίων.
πταρέτω δὲ μετὰ χυλοῦ βασιλικοῦ. ὅπερ ἐκ-
κόπτει τὸ πλῆθος τοῦ πταρμοῦ. εἰ δὲ ὁ κα-
τεχόμενος ὑπὸ πταρμοῦ ἔχει τὴν κεφαλὴν
θερμήν, ἀλειφέτω ἐν ὕδατι. ἢ ἰέλαιον μετὰ ἐσ-
δοσπάσματος. εἰ δὲ ψυχρόν, ἀλειφέτω κει-
νε. ἢ τὸ ἔλαιον τοῦ αἰθιοπικοῦ κυμίνου ἢ
τοῦ γλήχη. ἢ τῆς χαμαιμήλου. ὁ δὲ σοφώ-
τατος σωκράτης εἶπε. γυνή τις πταρέσα
λοξῶς, ἐστραβώθη ὁ τράχηλος αὐτῆς καὶ
ἔμεινεν ἀπόξυλος. ἐλθὼν δὲ ὁ ἀκέστωρ,
προσέταξε γυμνωθῆναι αὐτήν καὶ καλύψαι (γρ. ταύτην)
τὴν ἀσχημοσύνην αὐτῆς λεντίῳ. καὶ δὴ δέδω-
κεν αὐτῇ πταρμικόν. πταρομένη δέ, ἐλά-
βετο τὸ ἄκρον τοῦ λεντίου ὁ ἀκέστωρ. ἐκείνη
δὲ διὰ τό, μὴ φανῆναι τὴν ἀσχημοσύνην
αὐτῆς, ὑπέστρεψε τὸ πρόσωπον πρὸς τό, σκε-

παθῆναι. καὶ διὰ τοῦτο ἐξεθάφη ὁ ζάχηλος
ὄρθιος: — κε(φάλαιον) κβ΄ πύλη:

περὶ ἐπιληψίας, ἐν ᾧ καὶ περὶ ἀφωνίας:

Τὸ πάθος τοῦτο ἐμβαῖνον τοῖς ἀνθρώποις ἐπιρρί- κβ΄
πτει τούτοις. τοῦτο δὲ ἐκάλουν οἱ περίκρι-
τοι τῶν παλαιῶν, μεγίστην νόσον. ὁ δὲ κοι-
νὸς λαὸς. ἱερὰν νόσον. διὰ τὸ κρύφιον τῆς
αἰτίας αὐτῆς. λέγοντες ὅτι ἅπερ ὀργισθῇ ὁ
θεὸς κατά τινος πλάσματος αὐτοῦ, ἀποδίδω-
σιν αὐτῷ καὶ ἐπεγείρει τοῦτο τὸ πάθος. εἴ-
πομεν οὖν τὸν διορισμὸν τῆς ἐπιληψίας
καὶ τὴν θεωρίαν τοῦ σοφωτάτου γαληνοῦ. ὅ-
τι τὸ πάθος τοῦτο τὸ καλούμενον παρὰ τῶν
ἑλλήνων ἐπιληψία, ὑπάρχει ὑγρότης δια-
λελυμένη. συγκλείουσα τὰς κοιλίας τοῦ
ἐγκεφάλου συγκλεισμὸν ἐλλιπῆ. τουτέστιν
ὀλίγον. καὶ κωλύουσα τὴν ψυχικὴν ἐνέρ-

γεται. ὅπως τὰς ε' αἰσθήσεις του, ἔτι καὶ τὰς αὐ-
τῶν τὴν ἐνέργειαν. μέχρι οὗ διαλυθῇ ἐκεῖνο
τὸ ἐμβάν. καὶ καθαρθῇ ἐξ αὐτῆς τῆς ὑγρό-
τητος, τῆς ἀποκλειούσης ἐκείνας τὰς διόδους.
αὕτη τοίνυν ἡ ἀποπληξία, κοινωνεῖ τῇ σιωπῇ
καὶ ἀφωνίᾳ. καὶ ἡ σιωπὴ ὑπάρχει στέρησις τῆς
δυνάμεως, τῆς βλεπούσης καὶ ὁδηγούσης ἐν
πᾶσι τοῖς νεύροις. ἡ δὲ ἐπιληψία ἐστί, στέρησις
ἀναγκαίας κινήσεως. καὶ διὰ τοῦτο ἐκάλουν οἱ
ἰατροὶ τὸ πάθος τοῦτο, ἡ μικρὰ ἀποπληξία. συμ-
βαίνει δὲ ἀπὸ τεσσάρων αἰτιῶν. πρῶτον μὲν ἀπὸ φλέγ-
ματος περιττοῦ, ἢ ἀπὸ περιττώματος με-
λαίνης χολῆς, γενομένης ἐν τῷ ἐμπροσθίῳ
τοῦ ἐγκεφάλου, ἢ ἀπὸ πνεύματος ψυχροῦ
ἢ παχέος φυσωμένου κυρίως ἐν τῷ ἐγκεφάλῳ,
ἢ ἔν τινι τῶν μελῶν τοῦ σώματος. ὡς ἀπὸ στο-
μάχου ἢ ἤτρου γενομένου ἐν τούτοις ἐκ τῶν

τοιούτων περιττωμάτων. ἀνατρέχεται δὲ ἐξ
αὐτῶν, ἀτμὸς παχὺς ἐν τοῖς νεύροις ἕως τοῦ ἐγ-
κεφάλου καὶ συγκλείει διὰ τῆς παχύτητος αὐ-
τοῦ. τὰς διόδους τοῦ ψυχικοῦ πνεύματος.
καὶ τότε ὁ ἄνθρωπος πίπτει πρηνής· καὶ γίνεται ἡ
πτῶσις αὐτοῦ ἐν μιᾷ καταφορᾷ ἄφνω, ὁ ἐπι-
πολάζων ἐν τῷ στόματι αὐτοῦ. ἡ δὲ γινομένη
ἀποπληξία ἀπὸ περιττωμάτων γεννηθέντων ἐν
τῷ ἐμπροσθίῳ μέρει τοῦ ἐγκεφάλου ἰδίως προ-
μηνύεται φόβον καὶ βάρος τῆς κεφαλῆς. καὶ ὕ-
πνον. βραδύτητα τε τῆς αἰσθήσεως, καὶ νε-
φέλας ἐν τοῖς ὀφθαλμοῖς. τὰ δὲ συμβαίνοντα
αὐτῷ ἐστίν, ἡ στέρησις τῆς αἰσθήσεως, καὶ τῆς προ-
αιρετικῆς κινήσεως, καὶ ἡ ἀπουσία τῆς φρο-
νήσεως. καὶ ἐρήμωσις τῆς οἰκονομούσης αὐτὴν
δυνάμεως. διαλύεται δὲ τὸ πάθος, ἀνθαφόν.
ὅταν ἀναστραφῇ ὁ πάσχων ἐπιληπτικῶς. τὸ δὲ-

πεται δι᾽ αὐτῷ, γονόρροια καὶ φορὰ γαστερὸς
καὶ οὔρου, ἐκτὸς προαιρέσεως. καὶ ταῦτα
γίνονται ἐν περιόδοις γνωστοῖς. ἐξεῖπε
δὲ ὁ γαληνός, ὅτι ἡ ἐπιληψία ἡ γινομένη
ὅταν πληροῦται ἡ σελήνη καὶ ἄρχεται
αὐξάνεσθαι· σημαντικόν ὅτι περὶ ἣ ποιοῦ-
σα τὸ πάθος, ἐστὶ πολύϋγρος καὶ αὐξάνεται
σφοδρῶς. διότι πάντα αὐξάνονται διὰ τῆς
αὐξήσεως τῆς σελήνης. τὸ δὲ συμβαῖνον τὴν
ἐπιληψίαν εἰς τὴν ἔλλειψιν τῆς σελήνης, ὑπάρ-
χει ἡ ὕλη, κράσεως ψυχρᾶς· ὀλίγης ὑγρό-
τητος μετέχουσα θερμοποιοῦντος δὲ τὸ μέγι-
στον τοῦ πάθος, θερμαινόμενον τὸν ἐγκέφα-
λον, διὰ τῶν διαλυόντων καὶ μαλαττόντων.
καὶ ἠκούομεν τὰ περὶ πτώματα τὰ γινη-
θέντα ἐν αὐτῷ, διὰ τῆς τοῦ γαληνοῦ ἱερᾶς,
ἢ τῆς θεοδωρήτου. ἢ τοῦ λογαδίου καὶ τῶν

ὁμοίων· ἢ τὸ μεταχύσεως κωνείου. ταῦτα δὲ καὶ

κολοκύνθης ἐντεριώνης, καθαιρούντων τὴν

κεφαλήν, ἀπὸ τῶν παχέων περιττωμάτων·

ἀναφέρεσθαι ἐξέρχεται, μετὰ τῶν θερμαινόντων

εἰδῶν, ἢ μετὰ τῶν συντεταγμένων. προσαγο-

ρευθεὶς διὰ θερμῶν εἰδῶν καὶ ἀλειφῶν. ἀπο-

σύλωσι ἢ κεφαλῆς τοῦ πάσχοντος. διὸ ἐκ προ-

τῶν σύνταξιν θεραπεύων. καθαίρουσι τὸν ἐγκέ-

φαλον. ὁ δὲ καταρρέομεν τὴν κεφαλήν

διὰ τῶν φαρμάκων καταλλήλων ἐντούτοις τὰ χρῶτα,

περιστάντων εἰσιέναι ἐν τοῖς σαρκώδεσι

τῶν ἐνδεέστερον χυμῶν. ἢ οὐδὲ εἰς ἔχοντι περὶ

τῆς ἀλλοιώσεως. τρίβεται ζωμὸς ἐχίδνης κινήσει.

καὶ οἰνοποτεῖν μετὰ τὴν ἐξέλευσιν τοῦ λοιποῦ

τεοῦ. ἐπεὶ περὶ τῆς τῶν ὑγρῶν ὁδηγεῖται, καὶ καθά-

ρουσι διὰ τῶν θερμαινόντων στομάχου-

μάτων. αὐτὴ τοῦ θεραπεύειν. ἀλλ'

ἐκ μέλιτι· πολλάκις δὲ ἐν τερείζωνης, καὶ
τῶν ὁμοίων· πινέτω ἢ ἅπαξ μετὰ ἀνακτοῦ
τὴν μεγάλην ῥεείζαυτην· τῷ ἐχομένῳ πινέ-
τωσαν αὐτὸ δέ τους· ὅσου τὴν δὲ ἀνάκτησιν
την δὲ ἀξίαν [illegible]· φησὶ δὲ ὁ διοσκουρίδης·
ὅτι ὁ ἐπιληπτικὸς εἰ πίοι τὸν πιτυίαν
τῶν ἀγνώστων, ὠφελεῖται, καὶ τάχιν, τὸ
τοῦ ὄνου ἧπαρ ὀπτὸν ἐσθιόμενον πρωὶ πε-
ρισσῶν [illegible] ἀγνώστως, ὁμοίως καὶ τὸ ἐπιλη-
πτικούς· ὡσαύτως ποιοῦσι καὶ οἱ ἀστα-
γανοι τῶν ποδῶν τῶν ὄνων καόμενοι· καὶ
πινόμενοι δὲ αὐτῶν ὅσον [illegible] καθ᾽ ἡμέ-
ραν· ἐξ εἴπερ ὁ δὲ ἐσθιόμενα ὁ πλα-
τὰ τῶν γαλερνῶν πολλὰ, ἐμφαίνουσι τὴν
ἐπιληψίαν· καὶ ἐξελέγχει τοὺς ἐπιλήπτους
αὐτῇ· [illegible] πυρέσσου καὶ [illegible], ξύ-
μωσον μετὰ μέλιτος· καὶ πινέτω ὅσε [illegible]

χηπλίνος, ἢ ὀξύμελι τάδε αὐτό· ἢ κεκομμένον
ἐπιπάστον, ἐπὶ τῷ ὠφελεῖ τὸν παραχυθέντα·
τὸ λευκὸν καὶ ἐλαίνῳ ἐλαφοῦ, ἀναμάσσηται
ζωμὸς ἢ ὄσπριον, καὶ ὑπερφέρει τοῦ μελίκρατος·
συνάγει φερόμενον αὐτόν· ἢ κεκομμένον ἐπιπάσ-
τον τὸ ζιζανιῶνος μέλανος· καὶ τὸ μὴ ἀνέ-
χουσας λευκότητα· ἢ χολὴ ἀγκύλου μιγνυ-
φεῖσα, ὠφελεῖ εἰς τὴν ἐπίπλωσιν ἄν. τε-
φρᾶσιν διὰ τῶν θερμανούντων, καὶ τεμνόν-
των τὰ παχέα ὑπερπόματα· ἐνθετέον
δι' ὅλης τῆς ἡμέρας· καὶ πινέτω οἶνον
σαλαμιού, καὶ λεπτὸν τόπον· ἀπεχέσθω
δ' ὕσσου, γάλακτος· φακοῦ· κεκομμένης.
μαστιχανίων· σεύτλων· σινάπεως· καὶ τῶν
σημείων. εἰ δὲ φανείη διὰ τῶν πολλα-
βούλων σημείων ὅτι ἔσω ἐπιληψία
ἀπὸ στομάχου, προσέταττον ἐκεῖν,

δι' ἐμφράγματος αἰτίου· καὶ ξηρασίου· καὶ ὅσοι —
μέλανες· πυρετῶν καὶ τῶν ἐντέρων δι' ἄλλο, καθά —
περ τῶν στομάχου· πυρετῶν καὶ τῶν μελαγχολικῶν
τῶν κατασκευασθέντων δι' ἄλλων ἀρωμάτων· Περὶ τῶν
[illegible] κατάστασιν τὴν προλεχθεῖσαν· Περὶ
στήθους, [illegible] δι' ἄλλων [illegible] πνευστέων·
Περὶ [illegible] Περὶ [illegible]
καὶ [illegible] κατάληξιν· Περὶ [illegible]
τὸ βιοῦντων [illegible], ὅτι καὶ [illegible]
συμβαίνει, μάλιστα γε [illegible] τὰ σώματα
ὑγρὰ ἔχουσι, συμβαίνει δ' ἄλλως αὐτοῖς.
τε ἀπὸ [illegible] τῶν ἐμφραγμάτων
ὑπερ[illegible]· τε ἀπὸ [illegible]
Περὶ δ' [illegible]
[illegible] ὑπερ[illegible]
τῶν ἐμφραγμάτων· τε [illegible] μελαγχολικῶν.
τε ὑγρὰ [illegible],

ὅταν [illegible] τῆς παιδείας [illegible]

[illegible] τὸν [illegible] ὑπὸ [illegible] –

[illegible] εἰς [illegible] λέξαν [illegible] –

λέξαν. ἐπεὶ οὖν ἔστι [illegible]

τῆς [illegible] ἀποφέρουσι τοῦ παιδὸς [illegible] –

[illegible]

[illegible] .

[illegible] –

φημὶ ἐξ ἀρχῆς. [illegible] –

[illegible] ὁ [illegible] παρουσί[illegible]

γεγυμνασμένη ἐπὶ τῶν παίδων, [illegible] –

[illegible] φησὶ [illegible] ἄλλος, ὅτι

ἐπὶ [illegible] –

[illegible] γεγυμνασμένης τῆς

παρουσίας ἐν τῷ τοῦ βραχίονος, τοῦ παιδὸς

[illegible]

βραχίονος, ἀλλ᾽ [illegible] ὀχλεῖ τὸ ὑπὸ τοῦ

παλμοῖς· κεκμηκότες δι' αὐτῆς, ἠλευθερου-

ται· καὶ δὲ καὶ ξένους τοῦ πολλίστας τὰ αὐτὰ ἀπαντᾷ·

εἰ τὰ κεκμηκότα τὴν παρουσίαν· ἡ γῆς καλέσκο·

λέγεται αὐτός· ἔγνων ὁ τοιμερὴ μετὰ ξενου-

σὺν ἀπὸ τοῦ διὰ τούτου φαρμάκου· καὶ διὰ τῆς

ἀναπνοῆς εἰς σχῆμα· ἐξωθοῦντες τὸ νοσοῦν-

τας τόπους· ὅτι ὁ τὰ ἄκυλα δὲ τὰ λέγει καὶ

ὡς φαίνεται ὁ αὐτὸς καὶ κατὰ τοῦτο φέρει:-

ἡ κγʹ ἀρχή· περὶ ἡμιπληξίας·

κγʹ

Καὶ ἡ ἡμιπληξία δὲ ὑγρότητος ἐστί· οὐ γὰρ

ξηρὰς ἀναφέρεται ἀλλὰ φθίνει· μᾶλλον εἰ δὲ ταῦτα ξηρο-

ξέν· τολμαίως δὲ καὶ αὐτοὺς ξηρὸς χολώδης

ἀναβραστάς εἰς τὴν ὑπόμονον καὶ νεαλουτ·

ξηραίνει τὸ φλέγμα καὶ γίνεται ἡ ἡμιπληξία·

εἰ ξηρὰν δὲ καὶ οὖν τὰ πνευματικὰ ἀναφέρει· γίνεται

